the splendor their and the beauty even-if to-lightning the
φανοτάτῃ, οὐδὲν τῆς λαμπρότητος ἐκείνης ἄξιον ἐρῶ·
brightest nothing of-the splendor that worthy I-shall-say
«ὀφθαλμὸς γὰρ οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ
eye for not saw and ear not heard and upon
καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς
(the)-heart of-man not went-up what prepared — God for-those
ἀγαπῶσιν αὐτὸν» ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἐν τῷ φωτὶ
loving him in the kingdom of-the heavens in the light
τῷ ἀπροσίτῳ, ἐν τῇ δόξῃ τῇ ἀποῤῥήτῳ καὶ ἀτελευτήτῳ.»
the unapproachable in the glory the unspeakable and endless

«Καὶ οἱ μὲν δίκαιοι τοιούτων τεύξονται τῶν ἀγαθῶν,
and the indeed just such will-attain the goods
τοιαύτης δὲ τῆς μακαριότητος· οἱ δὲ τὸν ὄντως ὄντα Θεὸν
such and the blessedness those and the truly being God
ἀρνησάμενοι, καὶ τὸν πλάστην καὶ δημιουργὸν ἀγνοήσαντες,
having-denied and the maker and creator having-not-known
δαίμοσι δὲ μιαροῖς λατρεύσαντες, καὶ εἰδώλοις κωφοῖς
to-demons and foul having-served and to-idols dumb
τὸ σέβας ἀπονείμαντες, τὰς ἡδονάς τε τοῦ ματαίου βίου
the reverence having-assigned the pleasures both of-the vain life
τούτου ποθήσαντες, καὶ δίκην χοίρων τῷ βορβόρῳ
this having-longed-for and in-the-manner of-swine in-the mire
τῶν παθῶν κυλισθέντες, καὶ πάσης κακίας ὁρμητήριον
of-the passions having-rolled and of-all evil (a)-base
τὰς ἑαυτῶν ψυχὰς ποιησάμενοι, σταθήσονται γυμνοὶ καὶ
the their-own souls having-made will-stand naked and
τετραχηλισμένοι, κατησχυμμένοι καὶ κατηφεῖς, ἐλεεινοὶ καὶ
laid-bare shamed and downcast pitiable both
τῷ σχήματι καὶ τῷ πράγματι, ὄνειδος προκείμενοι πάσῃ
in-the appearance and in-the fact (a)-reproach set-before all
τῇ κτίσει· πάντα δὲ αὐτῶν τὰ ἐν λόγῳ, τὰ ἐν
the creation all and their the(-things) in word the(-things) in
ἔργῳ, τὰ ἐν διανοίᾳ, πρὸ προσώπου αὐτῶν ἐλεύσονται.
deed the(-things) in thought before (the)-face their will-come
Εἶτα, μετὰ τὴν αἰσχύνην ἐκείνην τὴν χαλεπωτάτην καὶ
then after the shame that the most-grievous and
τὸ ὄνειδος ἐκεῖνο τὸ ἀφόρητον, καταδικασθήσονται εἰς
the reproach that the unbearable they-will-be-condemned to
τὸ πῦρ τῆς γεέννης τὸ ἄσβεστον καὶ ἀφεγγὲς, εἰς τὸ
the fire of-the gehenna the unquenchable and lightless to the
σκότος τὸ ἐξώτερον, τὸν βρυγμὸν τῶν ὀδόντων καὶ
darkness the outer the gnashing of-the teeth and

σκώληκα τὸν ἰοβόλον. Αὕτη ἡ μερὶς αὐτῶν, οὗτος ὁ
(the)-worm the venomous this the portion their this the
κλῆρος, οἷς εἰς αἰῶνας συνέσονται τοὺς ἀτελευτήτους
lot with-which for ages they-will-be the endless
τιμωρούμενοι, ἀνθ' ὧν, τὰ ἐν ἐπαγγελίαις ἀγαθὰ
being-punished in-return-for which the in promises goods
παρωσάμενοι, διὰ πρόσκαιρον ἁμαρτίας ἡδονὴν κόλασιν
having-thrust-away because-of transitory of-sin pleasure punishment
αἰώνιον ἐξελέξαντο. Ὑπὲρ δὴ τούτων, ὥστε τῆς ἀῤῥήτου
eternal they-chose for indeed these so-as the unspeakable
μὲν χαρᾶς ἐκείνης ἐπιτυχεῖν καὶ τῆς ἀποῤῥήτου δόξης
indeed joy that to-attain and the ineffable glory
ἀπολαύειν, τοῖς Ἀγγέλοις δὲ ἀντιλάμπειν, καὶ τῷ ἀγαθῷ
to-enjoy with-the Angels and to-shine-back and to-the good
καὶ γλυκυτάτῳ δεσπότῃ μετὰ παῤῥησίας παρίστασθαι,
and sweetest master with boldness to-stand-before
τὰς πικροτάτας δὲ τιμωρίας καὶ ἀτελευτήτους καὶ τὴν
the most-bitter and punishments and endless and the
ὀδυνηρὰν ἐκείνην ἐκφυγεῖν αἰσχύνην, πόσα οὐκ ἄξιον
painful that to-escape shame how-much not worthy
προέσθαι καὶ χρήματα καὶ σώματα, μᾶλλον δὲ καὶ αὐτὰς
to-give-up both moneys and bodies rather and even themselves
τὰς ψυχάς; Τίς οὕτως ἀγεννὴς, τίς οὕτως ἀσύνετος, ὡς
the souls who so ignoble who so senseless as
μὴ μυρίους ὑποστῆναι προσκαίρους θανάτους, ἵνα τοῦ
not countless to-undergo transitory deaths that from-the
αἰωνίου ἀπαλλαγῇ καὶ ἀτελευτήτου θανάτου, τὴν ζωὴν δὲ
eternal be-be-freed and endless death the life and
κληρονομήσῃ τὴν μακαρίαν τε καὶ ἀνώλεθρον, καὶ τῷ
inherit the blessed both and indestructible and with-the
φωτὶ περιλαμφθῇ τῆς μακαρίας καὶ ζωαρχικῆς Τριάδος;»
light be-illumined of-the blessed and life-originating Trinity

Τούτων ἀκούσας ὁ βασιλεὺς τῶν ῥημάτων, καὶ τὸ
these having-heard the king the words and the
στερέμνιον καὶ ἀνένδοτον ἰδὼν τοῦ παιδὸς μήτε
solidity and unyieldingness having-seen of-the boy neither
κολακείαις εἴκοντος μήτε λόγων πειθοῖ, μὴ τιμωριῶν
to-flatteries yielding nor of-words to-persuasion nor of-punishments
ἀπειλαῖς, ἐθαύμαζε μὲν ἐπὶ τῇ πιθανότητι τοῦ λόγου
to-threats marveled indeed at the persuasiveness of-the speech
καὶ ταῖς ἀναντιῤῥήτοις ἀποκρίσεσιν, ἠλέγχετο δὲ ὑπὸ τοῦ
and the irrefutable answers was-convicted and by the
συνειδότος, ἀληθῆ λέγειν αὐτὸν καὶ δίκαια ὑποδεικνύοντος·
conscience true(-things) to-say him and just(-things) showing
ἀλλ' ἀνθείλκετο ὑπὸ τῆς πονηρᾶς συνηθείας καὶ τῶν ἐν
but was-drawn-back by the evil habit and of-the in
ἕξει βεβαιωθέντων ἐν αὐτῷ παθῶν, ὑφ' ὧν ὡς ἐν κημῷ
habit confirmed in him passions by which as in (a)-muzzle
κατείχετο καὶ χαλινῷ, τῷ φωτὶ μὴ συγχωρούμενος
he-was-held and bridle to-the light not being-allowed
προσβλέψαι τῆς ἀληθείας. Ὅθεν πάντα λίθον, τὸ τοῦ λόγου,
to-look of-the truth whence every stone the of-the saying
κινῶν, εἶχετο τοῦ πάλαι σκοποῦ, τὴν προμελετηθεῖσαν αὐτῷ
moving he-held-to the old aim the planned-beforehand by-him
μετὰ τοῦ Ἀραχῆ σκῆψιν εἰς ἔργον ἀγαγεῖν βουλόμενος. Καὶ
with — Araches pretext into deed to-bring wishing and
φησὶ τῷ παιδί· «Ἔδει μέν σε, ὦ τέκνον, τοῖς ἐμοῖς
says to-the boy it-was-needful indeed you O child to-the my
ἁπλῶς εἴκειν ἐν πᾶσι προστάγμασιν· ἀλλ' ἐπεὶ, σκληρὸς
simply to-yield in all commands but since hard
ὢν καὶ ἀπειθὴς, ἰσχυρῶς οὕτως ἀντέστης μοι, τὴν ἰδίαν
being and disobedient strongly so you-opposed me the own
ἐνιστάμενος γνώμην κυριωτέραν πάντων ποιήσασθαι, δεῦρο
insisting-on mind more-authoritative than-all to-make come

δὴ τῇ ματαίᾳ ἐνστάσει χαίρειν ἄμφω εἰπόντες, πειθοῖ
indeed to-the vain opposition farewell both having-said by-persuasion
πολιτευσώμεθα. Καὶ ἐπεὶ ὁ σὲ ἀπατήσας Βαρλαὰμ
let-us-act and since the(-one) you having-deceived Barlaam
σιδηροδέσμιος παρ' ἐμοὶ τυγχάνει, ἐκκλησιάσας ἐκκλησίαν
iron-bound with me happens-to-be having-convened (an)-assembly
μεγάλην, καὶ πάντας ἡμετέρους τε καὶ Γαλιλαίους ἐπὶ τὸ
great and all ours both and Galileans to the
αὐτὸ συγκαλέσας, κήρυκάς τε διαῤῥήδην βοᾷν θεσπίσας
same having-called-together heralds and expressly to-cry having-decreed
τοῦ μηδένα τῶν χριστιανῶν δεδοικέναι, ἀλλ' ἀφόβως
of-the no-one of-the Christians to-fear but fearlessly
πάντας συνεισελθεῖν, κοινῇ διασκεψώμεθα γνώμῃ. Καὶ
all to-come-together in-common let-us-consider with-mind and
ἢ, πείσαντες, ὑμεῖς μετὰ τοῦ ὑμετέρου Βαρλαὰμ τεύξεσθε
either having-persuaded you with the your Barlaam will-attain
ὧν ἐσπουδάκατε· ἢ, πεισθέντες, σὺν ἑκουσίᾳ τῇ γνώμῃ
what you-have-striven-for or persuaded with willing the mind
τοῖς προστάγμασί μου ὑπείκειν προθυμηθείητε.»
to-the commands my to-yield may-you-be-eager

Warned by his vision, Ioasaph agrees. Heralds summon idolaters and Christians without fear, and only one Christian, Barachias, comes to stand by the supposed Barlaam. The king threatens his orators with death if they lose, and Ioasaph warns Nachor that he will tear out his heart and tongue if he is shamed. Nachor sees himself caught in his own snare and, like Balaam, blesses where he was brought to curse. When an orator asks how he dares insult the gods, Nachor turns to the king and speaks: seeing the order of the world, he understood that its mover is God, without beginning, immortal, and needing nothing.

Ὁ δὲ φρόνιμος τῷ ὄντι καὶ ἐχέφρων νεανίας, διὰ τοῦ
the and prudent in-the being and sensible young-man through the
θεόθεν αὐτῷ ἐμφανισθέντος ὁράματος τὴν τοῦ βασιλέως
from-God to-him having-appeared vision the of-the king
προδεδιδαγμένος σκαιωρίαν, ἔφη· «Τὸ θέλημα τοῦ
having-been-taught-beforehand villainy said the will of-the
Κυρίου γενέσθω, καὶ ἔστω καθὼς ἐκέλευσας· αὐτὸς γὰρ
Lord let-be-done and let-it-be as you-commanded he for
ὁ ἀγαθὸς Θεὸς καὶ δεσπότης δῴη τῆς εὐθείας
the good God and master may-grant from-the straight(-road)
μὴ πλανηθῆναι ἡμᾶς· ἐπ᾽ αὐτῷ γὰρ πέποιθεν ἡ ψυχή
not to-stray us on him for has-trusted the soul
μου, καὶ αὐτὸς ἐλεήσει με.» Τότε δὴ τότε κελεύει
my and he will-have-mercy-on me then indeed then orders
ὁ βασιλεὺς πάντας ἀθροίζεσθαι εἰδωλολάτρας τε καὶ
the king all to-be-gathered idolaters both and
χριστιανούς, γραμμάτων μὲν πανταχοῦ διαπεφοιτηκότων,
Christians letters indeed everywhere having-gone-through
κηρύκων τε ἀνὰ πάσας τὰς κωμοπόλεις βοώντων
heralds and through all the market-towns crying
τοῦ μηδένα τῶν χριστιανῶν δεδοικέναι ὥστε ἀδόκητόν
of-the no-one of-the Christians to-fear so-as unexpected

τι ὑποστῆναι, ἀλλ᾽ ἀδεῶς πάντας καθ᾽ ἑταιρείαν καὶ
anything to-undergo but fearlessly all by fellowship and
συγγένειαν ἐπὶ τὸ αὐτὸ συνελθεῖν ἐπὶ φιλαλήθει καὶ οὐ
kinship to the same(-place) to-come-together for truth-loving and not
βεβιασμένῃ συζητήσει, μετὰ τοῦ ἐξάρχου καὶ καθηγεμόνος
forced joint-inquiry with the leader and guide
αὐτῶν μελλούσῃ γενέσθαι Βαρλαάμ. Ὡσαύτως δὲ καὶ
their being-about to-take-place Barlaam likewise and also
τοὺς μύστας καὶ νεωκόρους τῶν εἰδώλων καὶ σοφοὺς τῶν
the initiates and temple-wardens of-the idols and wise(-men) of-the
Χαλδαίων καὶ Ἰνδῶν, τοὺς κατὰ πᾶσαν τὴν ὑπ᾽ αὐτὸν
Chaldeans and Indians those throughout all the under him
ἀρχὴν ὄντας, συνεκαλέσατο, καί τινας οἰωνοσκόπους καὶ
rule being he-called-together and some augurs and
γόητας καὶ μάντεις, ὅπως ἂν χριστιανῶν περιγένοιντο.
sorcerers and diviners that — Christians they-might-overcome
Καὶ δὴ συνῆλθον πρὸς τὸν βασιλέα πλῆθος πολὺ τῆς
and indeed came-together to the king (a)-multitude great of-the
μυσαρᾶς αὐτοῦ θρησκείας· χριστιανῶν δὲ εἷς εὑρέθη μόνος
foul his religion of-Christians and one was-found alone
εἰς βοήθειαν ἐλθὼν τοῦ νομιζομένου Βαρλαὰμ, ὀνόματι
into help having-come of-the supposed Barlaam by-name
Βαραχίας. Οἱ μὲν γὰρ τῶν πιστῶν θανόντες ἦσαν ὑπὸ
Barachias some indeed for of-the faithful having-died were by
τῆς τῶν κατὰ πόλιν ἀρχόντων μανίας κατασφαγέντες·
the of-the in-each city rulers madness slaughtered
οἱ δὲ ἐν ὄρεσιν ἀπεκρύπτοντο καὶ σπηλαίοις τῷ
others and in mountains hid and caves from-the
φόβῳ τῶν ἐπικειμένων δεινῶν. Ἄλλοι δὲ ἐδεδοίκεσαν
fear of-the impending terrors others and feared
τὴν ἀπειλὴν τοῦ βασιλέως, καὶ οὐκ ἐτόλμων ἑαυτοὺς
the threat of-the king and not dared themselves

εἰς φῶς ἀγαγεῖν· ἀλλὰ νυκτερινοὶ ἦσαν θεοσεβεῖς, ἐν
into light to-bring but by-night were God-worshipers in
τῷ λεληθότι τῷ Χριστῷ λατρεύοντες καὶ μηδαμῶς
the secret — Christ serving and in-no-way
παῤῥησιαζόμενοι. Ἐκεῖνος δὲ μόνος, γενναῖος ὢν τὴν
speaking-boldly he and alone noble being in-the
ψυχὴν, εἰς συναγωνισμὸν ἦλθε τῆς ἀληθείας.
soul into joint-struggle came of-the truth
Προκαθίσας τοίνυν ὁ βασιλεὺς ἐπὶ βήματος ὑψηλοῦ τε καὶ
having-sat-in-front therefore the king on (a)-tribunal high both and
μετεώρου, συνεδριάζειν αὐτῷ τὸν υἱὸν ἐκέλευσεν. Ὁ δὲ, τῇ
lofty to-sit-with him the son he-ordered he and by-the
πρὸς τὸν πατέρα εὐλαβείᾳ καὶ τιμῇ τοῦτο μὴ θελήσας
toward the father reverence and honor this not having-wished
ποιῆσαι, ἐπὶ τῆς γῆς πλησίον αὐτοῦ ἐκάθισε. Παρέστησαν
to-do on the ground near him sat stood-by
τοίνυν οἱ ἐπιστήμονες τῆς μωρανθείσης παρὰ τοῦ Θεοῦ
therefore the knowers of-the made-foolish by — God
σοφίας, ὧν ἐπλανήθη ἡ ἀσύνετος καρδία, καθὼς φησὶν ὁ
wisdom whose went-astray the senseless heart as says the
Ἀπόστολος· «δοκοῦντες γὰρ εἶναι σοφοὶ ἐμωράνθησαν, καὶ
Apostle seeming for to-be wise they-were-made-foolish and
ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι θνητῶν
exchanged the glory of-the incorruptible God for (a)-likeness of-mortal
ἀνθρώπων καὶ τετραπόδων καὶ ἑρπετῶν.» Οὗτοι συνῆλθον
men and quadrupeds and reptiles these came-together
συνᾶραι λόγον πρὸς τὸν τοῦ βασιλέως υἱὸν καὶ τοὺς περὶ
to-settle (an)-account with the of-the king son and those about
αὐτὸν, καὶ ἐπληροῦτο ἐπ᾽ αὐτοῖς τὸ τῆς παροιμίας, ὅτι
him and was-fulfilled on them the(-thing) of-the proverb that
πρὸς λέοντα δορκὰς μάχης ἥπτετο. Ὁ μὲν γὰρ τὸν ὕψιστον
with (a)-lion (a)-gazelle battle joined he indeed for the most-high

ἔθετο καταφυγὴν αὐτοῦ, καὶ ἐν τῇ σκιᾷ ἤλπισε τῶν αὐτοῦ
made refuge his and in the shadow hoped of-the his
πτερύγων· οἱ δὲ τοῖς ἄρχουσιν ἐπεποίθησαν τοῦ αἰῶνος
wings they and in-the rulers trusted of-the age
τούτου τοῖς καταργουμένοις, καὶ τῷ κοσμοκράτορι τοῦ
this those being-abolished and in-the world-ruler of-the
σκότους, ᾧ καθυπέταξαν ἑαυτοὺς ἐλεεινῶς καὶ ἀθλίως.
darkness to-whom they-subjected themselves pitiably and wretchedly
Ἄγεται τοίνυν ὁ Ναχὼρ τὸν Βαρλαὰμ ὑποκρινόμενος·
is-brought therefore — Nachor — Barlaam playing-the-part-of
καὶ οἱ μὲν περὶ τὸν βασιλέα τοῦ τοιούτου εἴχοντο
and those indeed about the king to-the such held
σκοποῦ· ἕτερα δὲ πάλιν ἡ σοφὴ πρόνοια ἄνωθεν
aim other(-things) and again the wise providence from-above
ᾠκονόμει. Παρισταμένων γὰρ τούτων ἁπάντων φησὶν ὁ
arranged standing-by for these all says the
βασιλεὺς τοῖς ῥήτορσιν αὐτοῦ καὶ φιλοσόφοις, μᾶλλον δὲ
king to-the orators his and philosophers rather and
τοῖς λεωπλάνοις καὶ ἀσυνέτοις τὴν καρδίαν· «Ἰδοὺ δὴ
to-the people-deceivers and senseless in-the heart behold indeed
ἀγὼν ὑμῖν πρόκειται καὶ ἀγώνων ὁ μέγιστος. Δυοῖν γὰρ
(a)-contest for-you lies-before and of-contests the greatest of-two for
θάτερον γενήσεται ὑμῖν· ἢ τὰ ἡμέτερα κρατύναντας, καὶ
the-one will-happen to-you either the our(-things) having-strengthened and
πλανᾶσθαι τὸν Βαρλαὰμ καὶ τοὺς σὺν αὐτῷ ἐλέγξαντας,
to-err — Barlaam and those with him having-proved
δόξης μεγίστης καὶ τιμῆς παρ᾽ ἡμῶν τε καὶ πάσης τυχεῖν
of-glory greatest and honor from us both and all to-attain
τῆς συγκλήτου καὶ στεφάνοις νίκης καταστεφθῆναι· ἢ
the senate and with-crowns of-victory to-be-crowned or
ἡττηθέντας σὺν πάσῃ αἰσχύνῃ κακιγκάκως θανατωθῆναι,
defeated with all shame most-miserably to-be-put-to-death

πάντα δὲ τὰ ὑμέτερα τῷ δήμῳ δοθῆναι, ὡς ἂν
all and the your(-things) to-the people to-be-given so-that —
παντάπασιν ἐξαρθῇ τὸ μνημόσυνον ὑμῶν ἀπὸ τῆς γῆς.
utterly be-removed the memory your from the earth
Τὰ μὲν γὰρ σώματα ὑμῶν θηρίοις δώσω παρανάλωμα,
the indeed for bodies your to-beasts I-will-give (as)-fodder
τὰ δὲ τέκνα ὑμῶν διηνεκεῖ καταδουλώσω δουλείᾳ.»
the and children your to-perpetual I-will-enslave slavery
Τούτων οὕτως εἰρημένων τῷ βασιλεῖ, ὁ υἱὸς αὐτοῦ ἔφη·
these(-things) thus having-been-said by-the king the son his said
«Κρίμα δίκαιον σήμερον ἔκρινας, ὦ βασιλεῦ· κρατύναι
(a)-judgment just today you-judged O king may-strengthen
Κύριος ταύτην σου τὴν γνώμην. Κἀγὼ δὲ τὰ αὐτά
(the)-Lord this your the mind I-too and the same-things
φημι τῷ ἐμῷ διδασκάλῳ.» Καὶ ἐπιστραφεὶς λέγει τῷ
I-say to-the my teacher and having-turned says —
Ναχὼρ, ὃς ἐνομίζετο Βαρλαὰμ εἶναι· «Οἶδας, ὦ Βαρλαὰμ,
to-Nachor who was-thought Barlaam to-be do-you-know O Barlaam
ἐν τίνι με δόξῃ εὕρηκας καὶ τρυφῇ· καὶ λόγοις πλείστοις
in what me glory you-have-found and luxury and by-words very-many
ἔπεισάς με τῶν μὲν πατρῴων ἀποστῆναι νόμων τε καὶ
you-persuaded me from-the indeed paternal to-stand-away laws both and
ἐθῶν, ἀγνώστῳ δὲ λατρεῦσαι θεῷ, ἀῤῥήτων τινῶν καὶ
customs to-(an)-unknown and to-serve God of-ineffable some and
αἰωνίων ἀγαθῶν ἐπαγγελίαις ἑλκύσας μου τὸν νοῦν τοῖς
eternal goods by-promises having-drawn my the mind to-the
σοῖς ἐξακολουθῆσαι δόγμασι καὶ τὸν ἐμὸν παραπικρᾶναι
your to-follow doctrines and the my to-embitter
πατέρα τε καὶ δεσπότην; Νῦν οὖν ὡς ἐπὶ τρυτάνης νόμιζε
father both and master now then as on (a)-balance think
σεαυτὸν ἑστάναι. Εἰ μὲν γὰρ, νικήσας τὴν προκειμένην
yourself to-stand if indeed for having-won the lying-before

πάλην, ἀληθῆ σου τὰ δόγματα δείξεις ἅ μοι ἐδίδαξας,
wrestling true your the doctrines you-will-show which to-me you-taught
πλανωμένους δὲ ἐλέγξεις τοὺς σήμερον ἡμῖν ἀντιπίπτοντας,
deceived and you-will-prove those today us opposing
σὺ μὲν δοξασθήσῃ ὡς οὐδεὶς τῶν πώποτε γεγονότων
you indeed will-be-glorified as no-one of-those ever having-been
καὶ κῆρυξ ἀληθείας κληθήσῃ, ἐγὼ δὲ τῇ σῇ ἐμμενῶ
and herald of-truth you-will-be-called I and in-the your will-remain
διδαχῇ καὶ τῷ Χριστῷ λατρεύσω, καθὰ δὴ καὶ ἐκήρυξας,
teaching and — Christ will-serve as indeed also you-preached
μέχρι τῆς τελευταίας μου ἀναπνοῆς· εἰ δὲ, ἡττηθεὶς
until the last my breath if but defeated
εἴτε δόλῳ εἴτε ἀληθείᾳ, αἰσχύνης μοι σήμερον πρόξενος
whether by-guile or in-truth of-shame to-me today cause
γένῃ, θᾶττον ἐκδικήσω μου τὴν ὕβριν, χερσὶν οἰκείαις
you-become quickly I-will-avenge my the outrage with-hands own
τήν τε καρδίαν σου καὶ τὴν γλῶτταν ἐξορύξας, κυσί τε
the both heart your and the tongue having-dug-out to-dogs and
βορὰν ταῦτα σὺν τῷ λοιπῷ σου σώματι παραδοὺς, ἵνα
(as)-food these with the rest your body having-handed-over that
παιδευθῶσι πάντες διὰ σοῦ μὴ πλανᾷν υἱοὺς βασιλέων.»
may-be-taught all through you not to-deceive sons of-kings
Τούτων ἀκούσας ὁ Ναχὼρ τῶν ῥημάτων, σκυθρωπὸς ἦν
these having-heard — Nachor the words sullen was
λίαν καὶ κατηφὴς, ὁρῶν ἑαυτὸν ἐμπίπτοντα τῷ βόθρῳ
very and downcast seeing himself falling into-the pit
ᾧ εἰργάσατο καὶ τῇ παγίδι ᾗ ἔκρυψε συλλαμβανόμενον,
which he-made and in-the snare which he-bid being-caught
καὶ τὴν ῥομφαίαν αὐτοῦ εἰς καρδίαν αὐτοῦ κατανοῶν
and the sword his into (the)-heart his perceiving
εἰσδυομένην. Συλλογισάμενος οὖν καθ' ἑαυτὸν, τῷ τοῦ
entering having-reasoned then by himself to-the of-the

βασιλέως υἱῷ μᾶλλον ἔγνω προστεθῆναι καὶ τὰ ἐκείνου
king son rather he-resolved to-be-added and the(-things) his
κρατῦναι, τοῦ διαφυγεῖν τὸν ἐπηρτημένον αὐτῷ κίνδυνον,
to-strengthen of-the to-escape the hanging-over him danger
ὡς ἐκείνου εὐλόγως δυναμένου τιμωρήσασθαι αὐτὸν, εἴπερ
since he reasonably being-able to-punish him if
παραπικραίνων εὑρεθείη. Τὸ δὲ πᾶν τῆς θείας ἦν προνοίας
embittering(-him) he-were-found the but whole of-the divine was providence
σοφῶς διὰ τῶν ἐναντίων τὰ ἡμέτερα βεβαιούσης. Ὡς
wisely through the contrary(-things) the our(-things) confirming when
γὰρ εἰς λόγους ἦλθον ἀλλήλοις οἱ μύσται τῶν εἰδώλων
for into words came with-one-another the initiates of-the idols
καὶ ὁ Ναχὼρ, καθάπερ τις ἄλλος Βαλαὰμ ὃς ἐπὶ
and — Nachor as some other Balaam who in-the-time
τοῦ Βαλὰκ ποτὲ, ἐπαράσασθαι τὸν Ἰσραὴλ προθέμενος,
— of-Balak once to-curse — Israel having-proposed
πολυειδέσιν αὐτὸν εὐλόγησεν εὐλογίαις, οὕτως καὶ ὁ Ναχὼρ
with-manifold him blessed blessings so also — Nachor
ἰσχυρῶς τοῖς ἀσόφοις καὶ ἀσυνέτοις σοφοῖς ἀντικαθίστατο.
strongly the unwise and senseless wise(-men) opposed
Καθεζομένου γὰρ τοῦ βασιλέως ἐπὶ τοῦ θρόνου,
sitting for the king on the throne
συνεδριάζοντος καὶ τοῦ υἱοῦ, καθάπερ ἔφημεν, παρεστώτων
sitting-with also the son as we-said standing-by
δὲ τῶν ὥσπερ ῥομφαίαν τὰς γλώσσας ἀκονησάντων ἐπὶ
and those as (a)-sword the tongues having-sharpened for
καθαιρέσει τῆς ἀληθείας ἀσόφων ῥητόρων, οἳ, τὸ
destruction of-the truth unwise orators who the(-thing)
τοῦ Ἡσαΐου, «κύουσι πόνον καὶ τίκτουσιν ἀνομίαν»,
— of-Isaiah conceive toil and bear lawlessness
συνελθόντων δὲ ἀπείρων λαῶν εἰς θέαν τοῦ ἀγῶνος
having-come-together and countless peoples for sight of-the contest

ὥστε μαθεῖν ὁπότερον μέρος τὴν νίκην ἀποίσεται, λέγει
so-as to-learn which side the victory will-carry-off says
τῷ Ναχὼρ εἷς τῶν ῥητόρων, ὁ τῶν σὺν αὐτῷ πάντων
— to-Nachor one of-the orators the of-those with him all
διαφορώτατος· «Σὺ εἶ ὁ ἀναισχύντως οὕτως καὶ
most-excellent you are the(-one) shamelessly so and
ἰταμῶς εἰς τοὺς θεοὺς ἡμῶν ἐξυβρίζων Βαρλαὰμ, καὶ
recklessly against the gods our outraging Barlaam and
τὸν φίλτατον υἱὸν τοῦ βασιλέως τοιαύτῃ περιβαλὼν τῇ
the dearest son of-the king with-such having-encompassed the
πλάνῃ καὶ τῷ ἐσταυρωμένῳ διδάξας λατρεύειν;»
error and the crucified(-one) having-taught to-serve
Καὶ ὁ Ναχὼρ «Ἐγὼ εἰμί» ἀπεκρίνατο, «ἐγὼ εἰμὶ Βαρλαὰμ,
and — Nachor I am answered I am Barlaam
ὁ τοὺς θεούς σου μὲν ἐξουθενῶν, καθὼς εἴρηκας, τὸν
the(-one) the gods your indeed despising as you-have-said the
υἱὸν δὲ τοῦ βασιλέως οὐ πλάνῃ περιβαλών, ἀλλὰ πλάνης
son and of-the king not with-error having-encompassed but from-error
ἀπαλλάξας καὶ τῷ ἀληθινῷ προσοικειωσάμενος θεῷ.»
having-freed and to-the true having-joined God
Καὶ ὁ ῥήτωρ «Τῶν μεγάλων» φησί, «καὶ θαυμασίων
and the orator the great he-says and wonderful
ἀνδρῶν τῶν πᾶσαν σοφίας ἐπιστήμην ἐξευρηκότων θεοὺς
men those all of-wisdom knowledge having-discovered gods
ὑψηλοὺς καὶ ἀθανάτους ἐκείνους ὀνομαζόντων, καὶ πάντων
high and immortal them naming and all
τῶν ἐπὶ γῆς βασιλέων καὶ ἐνδόξων αὐτοῖς προσκυνούντων
the on earth kings and glorious to-them bowing-down
καὶ σεβομένων, πῶς αὐτὸς γλῶσσαν κατ᾽ αὐτῶν κινεῖς,
and worshiping how yourself (a)-tongue against them do-you-move

καὶ ὅλως ἀποθρασύνεσθαι τὰ τοιαῦτα τολμᾷς; Τίς δὲ ἡ
and at-all to-be-insolent the such-things dare what and the
ἀπόδειξις μὴ τούτους εἶναι θεοὺς, ἀλλὰ τὸν ἐσταυρωμένον;»
proof not these to-be gods but the crucified(-one)
Ὑπολαβὼν δὲ ὁ Ναχὼρ, τὸν μὲν ῥήτορα ἐκεῖνον οὐδόλως
replying and — Nachor the indeed orator that not-at-all
ἀποκρίσεως ἠξίωσε· κατασείσας δὲ τῇ χειρὶ τὸ πλῆθος
of-answer deemed-worthy having-waved and with-the hand the multitude
σιγᾷν, ἀνοίξας τὸ στόμα αὐτοῦ, καθάπερ ὁ τοῦ Βαλαὰμ
to-be-silent having-opened the mouth his as the — of-Balaam
ὄνος, ἃ οὐ προέθετο εἰπεῖν ταῦτα λελάληκε· καὶ φησὶ
ass what not he-had-intended to-say these(-things) has-spoken and says
πρὸς τὸν βασιλέα· «Ἐγὼ, βασιλεῦ, προνοίᾳ Θεοῦ ἦλθον
to the king I O-king by-providence of-God came
εἰς τὸν κόσμον· καὶ θεωρήσας τὸν οὐρανὸν καὶ γῆν καὶ
into the world and having-beheld the heaven and earth and
θάλασσαν, ἥλιόν τε καὶ σελήνην καὶ τὰ λοιπὰ, ἐθαύμασα
sea sun both and moon and the rest I-marveled-at
τὴν διακόσμησιν τούτων. Ἰδὼν δὲ τὸν κόσμον καὶ
the order of-these having-seen and the world and
τὰ ἐν αὐτῷ πάντα, ὅτι κατὰ ἀνάγκην κινεῖται, συνῆκα
the(-things) in it all that by necessity it-is-moved I-understood
τὸν κινοῦντα καὶ διακρατοῦντα εἶναι Θεόν· πᾶν γὰρ
the(-one) moving and holding-together to-be God all for
τὸ κινοῦν ἰσχυρότερον τοῦ κινουμένου, καὶ τὸ
the(-thing) moving (is)-stronger than-the moved and the(-thing)
διακρατοῦν ἰσχυρότερον τοῦ διακρατουμένου ἐστίν. Αὐτὸν
holding-together stronger than-the held-together is him
οὖν λέγω εἶναι Θεὸν τὸν συστησάμενον τὰ πάντα καὶ
then I-say to-be God the(-one) having-established the all(-things) and
διακρατοῦντα, ἄναρχον καὶ ἀΐδιον, ἀθάνατον καὶ ἀπροσδεῆ,
holding-together beginningless and everlasting immortal and self-sufficient

ἀνώτερον πάντων τῶν παθῶν καὶ ἐλαττωμάτων, ὀργῆς
above all the passions and defects of-wrath
τε καὶ λήθης καὶ ἀγνοίας καὶ τῶν λοιπῶν. Δι᾽ αὐτοῦ
both and forgetfulness and ignorance and the rest through him
δὲ τὰ πάντα συνέστηκεν. Οὐ χρῄζει θυσίας καὶ σπονδῆς,
and the all(-things) have-been-established not he-needs sacrifice and libation
οὐδὲ πάντων τῶν φαινομένων· πάντες δὲ αὐτοῦ χρῄζουσι.»
nor all the visible(-things) all but him need

V · THE CHALDEANS

Nachor divides mankind into three races, the worshipers of many gods, the Jews, and the Christians, and the first into Chaldeans, Greeks, and Egyptians. The Chaldeans worship the elements and the images they make of them, which must be guarded from thieves and cannot save themselves. He then shows that none of the elements is a god but each is a work of God: the heaven moves by necessity, the earth is trampled and defiled, water is boiled and dyed, fire is quenched, the winds serve the ships, the sun and moon rise and set and wane, and man grows old and dies. The Greeks are worse, inventing gods with passions, and he begins their list with Kronos, who ate his children.

«Τούτων οὕτως εἰρημένων περὶ Θεοῦ, καθὼς ἐμὲ ἐχώρησε
these(-things) thus having-been-said about God as me it-allowed
περὶ αὐτοῦ λέγειν, ἔλθωμεν καὶ ἐπὶ τὸ ἀνθρώπινον γένος,
about him to-speak let-us-come also to the human race
ὅπως ἴδωμεν τίνες αὐτῶν μετέχουσι τῆς ἀληθείας καὶ
that we-may-see which of-them partake of-the truth and
τίνες τῆς πλάνης. Φανερὸν γάρ ἐστιν ἡμῖν, ὦ βασιλεῦ,
which of-the error manifest for it-is to-us O king
ὅτι τρία γένη εἰσὶν ἀνθρώπων ἐν τῷδε τῷ κόσμῳ· ὧν
that three races there-are of-men in this the world of-which
εἰσὶν οἱ τῶν παρ᾽ ὑμῶν λεγομένων θεῶν προσκυνηταὶ,
are the(-ones) of-the by you so-called gods worshipers

καὶ Ἰουδαῖοι, καὶ χριστιανοί· αὐτοὶ δὲ πάλιν, οἱ τοὺς
and Jews and Christians they and again those the
πολλοὺς σεβόμενοι θεοὺς, εἰς τρία διαιροῦνται γένη,
many worshiping gods into three are-divided races
Χαλδαίους τε καὶ Ἕλληνας καὶ Αἰγυπτίους· οὗτοι γὰρ
Chaldeans both and Hellenes and Egyptians these for
γεγόνασιν ἀρχηγοὶ καὶ διδάσκαλοι τοῖς λοιποῖς ἔθνεσι τῆς
have-been leaders and teachers to-the other nations of-the
τῶν πολυωνύμων θεῶν λατρείας καὶ προσκυνήσεως.»
of-the many-named gods worship and adoration
«Ἴδωμεν οὖν τίνες τούτων μετέχουσι τῆς ἀληθείας καὶ
let-us-see then which of-these partake of-the truth and
τίνες τῆς πλάνης.»
which of-the error
«Οἱ μὲν γὰρ Χαλδαῖοι, οἱ μὴ εἰδότες θεὸν, ἐπλανήθησαν
the indeed for Chaldeans those not knowing God went-astray
ὀπίσω τῶν στοιχείων καὶ ἤρξαντο σέβεσθαι τὴν κτίσιν
after the elements and began to-worship the creation
παρὰ τὸν κτίσαντα αὐτούς· ὧν καὶ μορφώματά τινα
beside the(-one) having-created them of-which also shapes some
ποιήσαντες ὠνόμασαν ἐκτυπώματα τοῦ οὐρανοῦ καὶ τῆς
having-made they-named likenesses of-the heaven and of-the
γῆς καὶ τῆς θαλάσσης, ἡλίου τε καὶ σελήνης, καὶ τῶν
earth and of-the sea of-sun both and of-moon and of-the
λοιπῶν στοιχείων ἢ φωστήρων, καὶ, συγκλείσαντες ναοῖς,
other elements or luminaries and having-shut(-them) in-temples
προσκυνοῦσι θεοὺς καλοῦντες, οὓς καὶ τηροῦσιν ἀσφαλῶς ἵνα
they-worship gods calling(-them) which also they-guard securely that
μὴ κλαπῶσιν ὑπὸ λῃστῶν, καὶ οὐ συνῆκαν ὅτι πᾶν τὸ
not they-be-stolen by robbers and not they-understood that every the(-thing)
τηροῦν μεῖζον τοῦ τηρουμένου ἐστὶ, καὶ ὁ ποιῶν μείζων
guarding greater than-the guarded is and the(-one) making greater

ἐστὶ τοῦ ποιουμένου· εἰ γὰρ ἀδυνατοῦσιν οἱ θεοὶ αὐτῶν
is than-the made if for are-powerless the gods their
περὶ τῆς ἰδίας σωτηρίας, πῶς ἄλλοις σωτηρίαν χαρίσονται;
about the own safety how to-others salvation will-they-grant
Πλάνην οὖν μεγάλην ἐπλανήθησαν οἱ Χαλδαῖοι, σεβόμενοι
(an)-error then great erred the Chaldeans worshiping
ἀγάλματα νεκρὰ καὶ ἀνωφελῆ. Καὶ θαυμάζειν μοι ἐπέρχεται,
statues dead and useless and to-marvel to-me comes
ὦ βασιλεῦ, πῶς οἱ λεγόμενοι φιλόσοφοι αὐτῶν οὐδόλως
O king how the so-called philosophers their not-at-all
συνῆκαν ὅτι καὶ αὐτὰ τὰ στοιχεῖα φθαρτά ἐστιν. Εἰ δὲ τὰ
understood that also themselves the elements perishable are if and the
στοιχεῖα φθαρτά ἐστι καὶ ὑποτασσόμενα κατὰ ἀνάγκην, πῶς
elements perishable are and subjected by necessity how
εἰσὶ θεοί; εἰ δὲ τὰ στοιχεῖα οὐκ εἰσὶ θεοὶ, πῶς τὰ ἀγάλματα,
are-they gods if and the elements not are gods how the statues
ἃ γέγονεν εἰς τιμὴν αὐτῶν, θεοὶ ὑπάρχουσιν;»
which have-been-made for honor of-them gods are
«Ἴελθωμεν οὖν, ὦ βασιλεῦ, ἐπ᾽ αὐτὰ τὰ στοιχεῖα, ὅπως
let-us-come then O king to themselves the elements that
ἀποδείξωμεν περὶ αὐτῶν ὅτι οὐκ εἰσὶ θεοὶ, ἀλλὰ φθαρτὰ
we-may-show about them that not they-are gods but perishable
καὶ ἀλλοιούμενα, ἐκ τοῦ μὴ ὄντος παραχθέντα προστάγματι
and changing from the not being brought-forth by-(the)-command
τοῦ ὄντως Θεοῦ, ὅς ἐστιν ἄφθαρτός τε καὶ ἀναλλοίωτος
of-the truly God who is incorruptible both and unchangeable
καὶ ἀόρατος· αὐτὸς δὲ πάντα ὁρᾷ, καὶ, καθὼς βούλεται,
and invisible he and all(-things) sees and as he-wishes
ἀλλοιοῖ καὶ μεταβάλλει. Τί οὖν λέγω περὶ τῶν στοιχείων;»
alters and changes what then do-I-say about the elements

«Οἱ νομίζοντες τὸν οὐρανὸν εἶναι θεὸν πλανῶνται. Ὁρῶμεν
those thinking the heaven to-be (a)-god err we-see
γὰρ αὐτὸν τρεπόμενον καὶ κατὰ ἀνάγκην κινούμενον, καὶ
for it turning and by necessity moved and
ἐκ πολλῶν συνεστῶτα· διὸ καὶ κόσμος καλεῖται.
from many(-things) composed wherefore also (an)-ordered-world it-is-called
Κόσμος δὲ κατασκευή ἐστι τινὸς τεχνίτου· τὸ
(an)-ordered-world and (the)-construction is of-some craftsman the(-thing)
κατασκευασθὲν δὲ ἀρχὴν καὶ τέλος ἔχει. Κινεῖται δὲ
constructed and beginning and end has is-moved and
ὁ οὐρανὸς κατὰ ἀνάγκην σὺν τοῖς αὐτοῦ φωστῆρσι· τὰ
the heaven by necessity with the its luminaries the
γὰρ ἄστρα τάξει καὶ διαστήματι φερόμενα ἀπὸ σημείου
for stars in-order and interval borne from sign
εἰς σημεῖον, οἱ μὲν δύουσιν, οἱ δὲ ἀνατέλλουσι, καὶ
to sign some indeed set others and rise and
κατὰ καιροὺς πορείαν ποιοῦνται τοῦ ἀποτελεῖν θέρη καὶ
by seasons course make of-the to-accomplish summers and
χειμῶνας, καθὰ ἐπιτέτακται αὐτοῖς παρὰ τοῦ Θεοῦ, καὶ
winters as has-been-ordered them by — God and
οὐ παραβαίνουσι τοὺς ἰδίους ὅρους, κατὰ ἀπαραίτητον
not they-transgress the own bounds by inexorable
φύσεως ἀνάγκην, σὺν τῷ οὐρανίῳ κόσμῳ. Ὅθεν φανερόν
of-nature necessity with the heavenly order whence manifest
ἐστι μὴ εἶναι τὸν οὐρανὸν θεὸν, ἀλλ' ἔργον Θεοῦ.»
it-is not to-be the heaven (a)-god but (a)-work of-God
«Οἱ δὲ νομίζοντες τὴν γῆν εἶναι θεὰν ἐπλανήθησαν.
those and thinking the earth to-be (a)-goddess erred
Ὁρῶμεν γὰρ αὐτὴν ὑπὸ τῶν ἀνθρώπων ὑβριζομένην καὶ
we-see for it by the men outraged and
κατακυριευομένην καὶ φυρομένην καὶ ἄχρηστον γινομένην.
lorded-over and mixed and useless becoming

Ἐὰν γὰρ ὀπτηθῇ, γίνεται νεκρά· ἐκ γὰρ τοῦ ὀστράκου
if for it-be-baked it-becomes dead from for the potsherd
φύεται οὐδέν. Ἔτι δὲ καὶ ἐὰν ἐπὶ πλέον βραχῇ, φθείρεται
grows nothing further and also if for more it-be-wetted it-is-corrupted
καὶ αὐτὴ καὶ οἱ καρποὶ αὐτῆς. Καταπατεῖται δὲ ὑπό τε
both itself and the fruits its it-is-trampled and by both
ἀνθρώπων καὶ τῶν λοιπῶν ζώων, αἵμασι φονευομένων
men and the other animals with-bloods of-slain
μιαίνεται, διορύσσεται, νεκρῶν θήκη γίνεται σωμάτων.
it-is-defiled it-is-dug-through of-dead (a)-tomb it-becomes bodies
Τούτων οὕτως ὄντων, οὐκ ἐνδέχεται τὴν γῆν εἶναι θεὰν,
these(-things) thus being not it-is-possible the earth to-be (a)-goddess
ἀλλ' ἔργον Θεοῦ εἰς χρῆσιν ἀνθρώπων.»
but (a)-work of-God for use of-men
«Οἱ δὲ νομίζοντες τὸ ὕδωρ εἶναι θεὸν ἐπλανήθησαν.
those and thinking the water to-be (a)-god erred
Καὶ αὐτὸ γὰρ εἰς χρῆσιν τῶν ἀνθρώπων γέγονε, καὶ
also it for for use of-the men has-come-to-be and
κατακυριεύεται ὑπ' αὐτῶν, μιαίνεται καὶ φθείρεται, καὶ
is-lorded-over by them it-is-defiled and corrupted and
ἀλλοιοῦται ἑψόμενον καὶ ἀλλασσόμενον χρώμασι, καὶ ὑπὸ
altered being-boiled and being-changed by-colors and by
τοῦ κρύους πηγνύμενον, καὶ εἰς πάντων τῶν ἀκαθάρτων
the frost being-frozen and to of-all the unclean(-things)
πλύσιν ἀγόμενον. Διὸ ἀδύνατον τὸ ὕδωρ εἶναι θεὸν,
washing brought wherefore impossible the water to-be (a)-god
ἀλλ' ἔργον Θεοῦ.»
but (a)-work of-God
«Οἱ δὲ νομίζοντες τὸ πῦρ εἶναι θεὸν πλανῶνται. Καὶ αὐτὸ
those and thinking the fire to-be (a)-god err also it
γὰρ εἰς χρῆσιν ἐγένετο ἀνθρώπων. Καὶ κατακυριεύεται
for for use came-to-be of-men and is-lorded-over

ὑπ᾽ αὐτῶν, περιφερόμενον ἐκ τόπου εἰς τόπον εἰς ἕψησιν
by them carried-about from place to place for boiling
καὶ ὄπτησιν παντοδαπῶν κρεῶν, ἔτι δὲ καὶ νεκρῶν
and roasting of-all-kinds-of meats further and also of-dead
σωμάτων. Φθείρεται δὲ καὶ κατὰ πολλοὺς τρόπους, ὑπὸ
bodies it-is-destroyed and also in many ways by
τῶν ἀνθρώπων σβεννύμενον. Διὸ οὐκ ἐνδέχεται τὸ πῦρ
the men being-quenched wherefore not it-is-possible the fire
εἶναι θεὸν, ἀλλ᾽ ἔργον Θεοῦ.»
to-be (a)-god but (a)-work of-God
«Οἱ δὲ νομίζοντες τὴν τῶν ἀνέμων πνοὴν εἶναι θεὰν
those and thinking the of-the winds blowing to-be (a)-goddess
πλανῶνται. Φανερὸν γάρ ἐστιν ὅτι δουλεύει ἑτέρῳ, καὶ
err manifest for it-is that it-serves another and
χάριν τῶν ἀνθρώπων κατεσκεύασται ὑπὸ τοῦ Θεοῦ πρὸς
for-the-sake of-the men has-been-made by — God for
μεταγωγὴν πλοίων καὶ συγκομιδὰς τῶν σιτίων, καὶ εἰς
(the)-transport of-ships and conveyings of-the grains and for
λοιπὰς αὐτῶν χρείας αὔξει τε καὶ λήγει, κατ᾽ ἐπιταγὴν
other their needs it-increases both and ceases by command
Θεοῦ. Διὸ οὐ νενόμισται τὴν τῶν ἀνέμων πνοὴν εἶναι
of-God wherefore not it-is-thought the of-the winds blowing to-be
θεὰν, ἀλλ᾽ ἔργον Θεοῦ.»
(a)-goddess but (a)-work of-God
«Οἱ δὲ νομίζοντες τὸν ἥλιον εἶναι θεὸν πλανῶνται. Ὁρῶμεν
those and thinking the sun to-be (a)-god err we-see
γὰρ αὐτὸν κινούμενον κατὰ ἀνάγκην καὶ τρεπόμενον,
for it moved by necessity and turning
καὶ μεταβαίνοντα ἀπὸ σημείου εἰς σημεῖον, δύνοντα καὶ
and passing from sign to sign setting and
ἀνατέλλοντα, τοῦ θερμαίνειν τὰ φυτὰ καὶ βλαστὰ εἰς χρῆσιν
rising of-the to-warm the plants and shoots for use

τῶν ἀνθρώπων, ἔτι δὲ καὶ μερισμοὺς ἔχοντα μετὰ τῶν
of-the men further and also divisions having with the
λοιπῶν ἀστέρων, καὶ ἐλάττονα ὄντα τοῦ οὐρανοῦ πολὺ, καὶ
other stars and less being than-the heaven much and
ἐκλείποντα τοῦ φωτὸς, καὶ μηδεμίαν αὐτοκράτειαν ἔχοντα.
failing of-the light and no self-rule having
Διὸ οὐ νενόμισται τὸν ἥλιον εἶναι θεὸν, ἀλλ' ἔργον Θεοῦ.»
wherefore not it-is-thought the sun to-be (a)-god but (a)-work of-God
«Οἱ δὲ νομίζοντες τὴν σελήνην εἶναι θεὰν πλανῶνται.
those and thinking the moon to-be (a)-goddess err
Ὁρῶμεν γὰρ αὐτὴν κινουμένην κατὰ ἀνάγκην καὶ
we-see for it moved by necessity and
τρεπομένην, καὶ μεταβαίνουσαν ἀπὸ σημείου εἰς σημεῖον,
turning and passing from sign to sign
δύνουσάν τε καὶ ἀνατέλλουσαν εἰς χρείαν τῶν ἀνθρώπων,
setting both and rising for need of-the men
καὶ ἐλάττονα οὖσαν τοῦ ἡλίου, αὐξουμένην τε καὶ
and less being than-the sun waxing both and
μειουμένην, καὶ ἐκλείψεις ἔχουσαν. Διὸ οὐ νενόμισται
waning and eclipses having wherefore not it-is-thought
τὴν σελήνην εἶναι θεὰν, ἀλλ' ἔργον Θεοῦ.»
the moon to-be (a)-goddess but (a)-work of-God
«Οἱ δὲ νομίζοντες τὸν ἄνθρωπον εἶναι θεὸν πλανῶνται.
those and thinking the man to-be (a)-god err
Ὁρῶμεν γὰρ αὐτὸν κινούμενον κατὰ ἀνάγκην, καὶ
we-see for him moved by necessity and
τρεφόμενον καὶ γηράσκοντα, καὶ μὴ θέλοντος αὐτοῦ. Καὶ
nourished and growing-old even not willing he and
ποτὲ μὲν χαίρει, ποτὲ δὲ λυπεῖται, δεόμενος βρωμάτων
at-times indeed he-rejoices at-times and grieves needing foods
καὶ ποτοῦ καὶ ἐσθῆτος. Εἶναι δὲ αὐτὸν ὀργίλον καὶ ζηλωτὴν
and drink and clothing to-be and him wrathful and jealous

καὶ ἐπιθυμητὴν, καὶ μεταμελόμενον, καὶ πολλὰ ἐλαττώματα
and covetous and repenting and many defects
ἔχοντα. Φθείρεται δὲ κατὰ πολλοὺς τρόπους, ὑπὸ στοιχείων
having he-is-destroyed and in many ways by elements
καὶ ζώων, καὶ τοῦ ἐπικειμένου αὐτῷ θανάτου. Οὐκ
and animals and the lying-upon him death not
ἐνδέχεται οὖν εἶναι τὸν ἄνθρωπον θεὸν, ἀλλ' ἔργον Θεοῦ.»
it-is-possible then to-be the man (a)-god but (a)-work of-God
«Πλάνην οὖν μεγάλην ἐπλανήθησαν οἱ Χαλδαῖοι, ὀπίσω
(an)-error then great erred the Chaldeans after
τῶν ἐπιθυμημάτων αὐτῶν. Σέβονται γὰρ τὰ φθαρτὰ
the desires their they-worship for the perishable
στοιχεῖα καὶ τὰ νεκρὰ ἀγάλματα, καὶ οὐκ αἰσθάνονται
elements and the dead statues and not they-perceive
ταῦτα θεοποιούμενοι. Ἔλθωμεν οὖν ἐπὶ τοὺς Ἕλληνας,
these deifying let-us-come then to the Hellenes
ἵνα ἴδωμεν εἴ τι φρονοῦσι περὶ Θεοῦ.»
that we-may-see if anything they-think about God
«Οἱ οὖν Ἕλληνες σοφοὶ λέγοντες εἶναι ἐμωράνθησαν
the then Hellenes wise saying(-themselves) to-be were-made-foolish
χεῖρον τῶν Χαλδαίων, παρεισάγοντες πολλοὺς θεοὺς
worse than-the Chaldeans introducing many gods
γεγενῆσθαι, τοὺς μὲν ἄῤῥενας, τοὺς δὲ θηλείας, παντοίων
to-have-come-to-be some indeed male others and female of-all-kinds
παθῶν καὶ παντοδαπῶν δημιουργοὺς ἀνομημάτων. Ὅθεν
passions and of-all-sorts creators lawlessnesses whence
γελοῖα καὶ μωρὰ καὶ ἀσεβῆ παρεισήγαγον οἱ Ἕλληνες,
laughable and foolish and impious introduced the Hellenes
βασιλεῦ, ῥήματα, τοὺς μὴ ὄντας προσαγορεύοντες
O-king words those not being calling
θεοὺς, κατὰ τὰς ἐπιθυμίας αὐτῶν τὰς πονηρὰς, ἵνα,
gods according-to the desires their the evil that

τούτους συνηγόρους ἔχοντες τῆς κακίας, μοιχεύωσιν,
these advocates having of-the evil they-may-commit-adultery
ἁρπάζωσι, φονεύωσι, καὶ τὰ πάνδεινα ποιῶσιν. Εἰ
seize murder and the most-terrible(-things) do if
γὰρ οἱ θεοὶ αὐτῶν τοιαῦτα ἐποίησαν, πῶς καὶ αὐτοὶ οὐ
for the gods their such-things did how also themselves not
τοιαῦτα πράξουσιν; Ἐκ τούτων οὖν τῶν ἐπιτηδευμάτων
such-things will-practice from these then the practices
τῆς πλάνης συνέβη τοὺς ἀνθρώπους πολέμους ἔχειν
of-the error it-happened the men wars to-have
συχνοὺς, καὶ σφαγὰς καὶ αἰχμαλωσίας πικράς.»
frequent and slaughters and captivities bitter
«Ἀλλὰ καὶ καθ' ἕκαστον τῶν θεῶν αὐτῶν εἰ θελήσομεν
but also by each of-the gods their if we-wish
ἐλθεῖν τῷ λόγῳ, πολλὴν ὄψει τὴν ἀτοπίαν.»
to-go with-the word much you-will-see the absurdity
Ὁ πρῶτος παρεισάγεται αὐτοῖς πρὸ πάντων θεὸς ὁ
the first is-introduced by-them before all god the(-one)
λεγόμενος Κρόνος, καὶ τούτῳ θύουσι τὰ ἴδια τέκνα,
called Kronos and to-this they-sacrifice the own children
ὃς ἔσχε παῖδας πολλοὺς ἐκ τῆς Ῥέας, καὶ μανεὶς
who had sons many from — Rhea and having-gone-mad
ἤσθιε τὰ ἴδια τέκνα. Φασὶ δὲ τὸν Δία κόψαι αὐτοῦ
ate the own children they-say and — Zeus to-have-cut-off his
τὰ ἀναγκαῖα καὶ βαλεῖν εἰς τὴν θάλασσαν, ὅθεν
the genitals and to-have-thrown(-them) into the sea whence
Ἀφροδίτην μυθεύεσθαι γεννᾶσθαι. Δήσας οὖν τὸν ἴδιον
Aphrodite is-fabled to-be-born having-bound then the own
πατέρα ὁ Ζεὺς ἔβαλεν εἰς τὸν Τάρταρον. Ὁρᾷς τὴν
father — Zeus cast(-him) into — Tartarus do-you-see the
πλάνην καὶ ἀσέλγειαν ἣν παρεισάγουσι κατὰ τοῦ θεοῦ
error and licentiousness which they-introduce against the god

αὐτῶν; Ἐνδέχεται οὖν θεὸν εἶναι δέσμιον καὶ ἀπόκοπον;
their is-it-possible then (a)-god to-be (a)-prisoner and castrated
ὦ τῆς ἀνοίας! τίς τῶν νοῦν ἐχόντων ταῦτα φήσειεν;»
O the folly who of-those sense having these(-things) would-say

VI · THE GODS OF THE GREEKS AND EGYPTIANS

Nachor runs through the Greek gods: Zeus transformed to seduce mortal women, Hephaestus lame and working for bread, Hermes the thief, Asclepius struck by a thunderbolt, Ares bound in adultery, Dionysus the drunkard slain by the Titans, Heracles the child-killer burned alive, Apollo prophesying for pay, Artemis roaming with her dogs, Aphrodite the adulteress, and Adonis killed by a boar. Taking these gods as their pattern, men practice every lawlessness. The Egyptians are more foolish still: they worship Isis, Osiris, and Typhon, and animals of every kind. The wise of the Greeks never saw that gods who murder and commit adultery stand condemned by their own laws.

«Δεύτερος παρεισάγεται ὁ Ζεὺς, ὃν φασὶ βασιλεῦσαι
second is-introduced — Zeus who they-say to-have-reigned
τῶν θεῶν αὐτῶν, καὶ μεταμορφοῦσθαι εἰς ζῶα, ὅπως
of-the gods their and to-be-transformed into animals that
μοιχεύσῃ θνητὰς γυναῖκας. Παρεισάγουσι γὰρ
he-might-commit-adultery-with mortal women they-introduce for
τοῦτον μεταμορφούμενον εἰς ταῦρον πρὸς Εὐρώπην, καὶ εἰς
him transforming into (a)-bull to Europa and into
χρυσὸν πρὸς Δανάην, καὶ εἰς κύκνον πρὸς Λήδαν, καὶ εἰς
gold to Danae and into (a)-swan to Leda and into
σάτυρον πρὸς Ἀντιόπην, καὶ εἰς κεραυνὸν πρὸς Σεμέλην·
(a)-satyr to Antiope and into (a)-thunderbolt to Semele
εἶτα γενέσθαι ἐκ τούτων τέκνα πολλὰ, Διόνυσον,
then to-have-been-born from these children many Dionysus
καὶ Ζῆθον καὶ Ἀμφίονα, καὶ Ἡρακλῆν, καὶ Ἀπόλλωνα
and Zethus and Amphion and Heracles and Apollo

καὶ Ἄρτεμιν, καὶ Περσέα, Κάστορά τε καὶ Ἑλένην καὶ
and Artemis and Perseus Castor both and Helen and
Πολυδεύκην, καὶ Μίνωα, καὶ Ῥαδάμανθυν, καὶ Σαρπηδόνα,
Polydeuces and Minos and Rhadamanthys and Sarpedon
καὶ τὰς ἐννέα θυγατέρας ἃς προσηγόρευσαν Μούσας. Εἶθ᾽
and the nine daughters whom they-named Muses then
οὕτως παρεισάγουσι τὰ κατὰ τὸν Γανυμήδην. Συνέβη
thus they-introduce the(-things) about — Ganymede it-happened
οὖν, βασιλεῦ, τοῖς ἀνθρώποις μιμεῖσθαι ταῦτα πάντα, καὶ
then O-king to-the men to-imitate these(-things) all and
γίνεσθαι μοιχοὺς καὶ ἀῤῥενομανεῖς, καὶ ἄλλων δεινῶν ἔργων
to-become adulterers and mad-for-males and of-other terrible deeds
ἐργάτας, κατὰ μίμησιν τοῦ θεοῦ αὐτῶν. Πῶς οὖν ἐνδέχεται
workers according-to imitation of-the god their how then is-it-possible
θεὸν εἶναι μοιχὸν ἢ ἀνδροβάτην, ἢ πατροκτόνον;»
(a)-god to-be (an)-adulterer or sodomite or parricide
«Σὺν τούτῳ δὲ καὶ Ἥφαιστόν τινα παρεισάγουσι θεὸν εἶναι,
with this and also Hephaestus some they-introduce (a)-god to-be
καὶ τοῦτον χωλὸν, καὶ κρατοῦντα σφύραν καὶ πυρόλαβον,
and him lame and holding (a)-hammer and tongs
καὶ χαλκεύοντα χάριν τροφῆς. Ἄρα ἐπιδεής ἐστιν· ὅπερ οὐκ
and working-bronze for-the-sake of-food then needy he-is which not
ἐνδέχεται θεὸν εἶναι χωλὸν καὶ προσδεόμενον ἀνθρώπων.»
is-possible (a)-god to-be lame and needing men
«Εἶτα τὸν Ἑρμῆν παρεισάγουσι θεὸν εἶναι ἐπιθυμητὴν, καὶ
then — Hermes they-introduce (a)-god to-be covetous and
κλέπτην καὶ πλεονέκτην, καὶ μάγον, καὶ κυλλὸν, καὶ λόγων
(a)-thief and grasping and (a)-magician and crippled and of-words
ἑρμηνευτήν. Ὅπερ οὐκ ἐνδέχεται θεὸν εἶναι τοιοῦτον.»
interpreter which not is-possible (a)-god to-be such

«Τὸν δὲ Ἀσκληπιὸν παρεισάγουσι θεὸν εἶναι, ἰατρὸν ὄντα
— *and Asclepius they-introduce (a)-god to-be (a)-physician being*
καὶ κατασκευάζοντα φάρμακα καὶ σύνθεσιν ἐμπλάστρων,
and preparing drugs and (a)-compounding of-plasters
χάριν τροφῆς (ἐπενδεὴς γὰρ ἦν), ὕστερον δὲ κεραυνοῦσθαι
for-the-sake of-food needy for he-was later and to-be-thunderstruck
αὐτὸν ὑπὸ τοῦ Διὸς διὰ Τυνδάρεων Λακεδαίμονος υἱόν,
him by — Zeus because-of Tyndareus of-Lacedaemon son
καὶ ἀποθανεῖν. Εἰ δὲ Ἀσκληπιὸς θεὸς ὢν καὶ κεραυνωθεὶς
and to-die if and Asclepius (a)-god being and thunderstruck
οὐκ ἠδυνήθη ἑαυτῷ βοηθῆσαι, πῶς ἄλλοις βοηθήσει;»
not was-able himself to-help how others will-he-help
«Ἄρης δὲ παρεισάγεται θεὸς εἶναι πολεμιστὴς καὶ ζηλωτὴς,
Ares and is-introduced (a)-god to-be warlike and jealous
καὶ ἐπιθυμητὴς θρεμμάτων καὶ ἑτέρων τινῶν· ὕστερον δὲ
and covetous of-flocks and of-other some(-things) later and
αὐτὸν μοιχεύοντα τὴν Ἀφροδίτην δεθῆναι αὐτὸν
him committing-adultery-with — Aphrodite to-have-been-bound him
ὑπὸ τοῦ νηπίου Ἔρωτος καὶ ὑπὸ Ἡφαίστου. Πῶς οὖν θεός
by the infant Eros and by Hephaestus how then (a)-god
ἐστιν ὁ ἐπιθυμητὴς καὶ πολεμιστὴς καὶ δέσμιος καὶ μοιχός;»
is the covetous and warlike and (a)-prisoner and adulterer
«Τὸν δὲ Διόνυσον παρεισάγουσι θεὸν εἶναι, νυκτερινὰς
— *and Dionysus they-introduce (a)-god to-be nocturnal*
ἄγοντα ἑορτὰς καὶ διδάσκαλον μέθης, καὶ ἀποσπῶντα τὰς
leading feasts and teacher of-drunkenness and snatching-away the
τῶν πλησίον γυναῖκας, καὶ μαινόμενον καὶ φεύγοντα· ὕστερον
of-the neighbors wives and raving and fleeing later
δὲ αὐτὸν σφαγῆναι ὑπὸ τῶν Τιτάνων. Εἰ οὖν Διόνυσος
and him to-have-been-slaughtered by the Titans if then Dionysus

σφαγεὶς οὐκ ἠδυνήθη ἑαυτῷ βοηθῆσαι, ἀλλὰ καὶ μαινόμενος
slaughtered not was-able himself to-help but also raving
ἦν καὶ μέθυσος καὶ δραπέτης, πῶς ἂν εἴη θεός;»
was and drunkard and runaway how — would-be-be (a)-god
«Τὸν δὲ Ἡρακλῆν παρεισάγουσι μεθυσθῆναι καὶ
— and Heracles they-introduce to-have-been-drunk and
μανῆναι, καὶ τὰ ἴδια τέκνα σφάξαι, εἶτα πυρὶ
to-have-gone-mad and the own children to-have-slaughtered then by-fire
ἀναλωθῆναι καὶ οὕτως ἀποθανεῖν. Πῶς δ' ἂν εἴη
to-have-been-consumed and thus to-have-died how and — would-be-be
θεὸς, μέθυσος καὶ τεκνοκτόνος, καὶ κατακαιόμενος; ἢ πῶς
(a)-god drunkard and child-killer and burned-up or how
ἄλλοις βοηθήσει, ἑαυτῷ βοηθῆσαι μὴ δυνηθείς;»
others will-he-help himself to-help not having-been-able
«Τὸν δὲ Ἀπόλλωνα παρεισάγουσι θεὸν εἶναι ζηλωτὴν,
— and Apollo they-introduce (a)-god to-be jealous
ἔτι δὲ καὶ τόξον καὶ φαρέτραν κρατοῦντα, ποτὲ δὲ καὶ
further and also (a)-bow and quiver holding at-times and also
κιθάραν καὶ ἐπαυθίδα, καὶ μαντευόμενον τοῖς ἀνθρώποις
(a)-lyre and (a)-flute and prophesying to-the men
χάριν μισθοῦ. Ἆρα ἐπενδεής ἐστιν· ὅπερ οὐκ ἐνδέχεται
for-the-sake of-pay then needy he-is which not is-possible
θεὸν εἶναι ἐνδεῆ καὶ ζηλωτὴν καὶ κιθαρῳδόν.»
(a)-god to-be needy and jealous and lyre-singer
«Ἄρτεμιν δὲ παρεισάγουσιν ἀδελφὴν αὐτοῦ εἶναι, κυνηγὸν
Artemis and they-introduce sister his to-be (a)-huntress
οὖσαν, καὶ τόξον ἔχειν μετὰ φαρέτρας, καὶ ταύτην
being and (a)-bow to-have with (a)-quiver and her
ῥέμβεσθαι κατὰ τῶν ὀρέων μόνην μετὰ τῶν κυνῶν, ὅπως
to-roam over the mountains alone with the dogs that

θηρεύσει ἔλαφον ἢ κάπρον. Πῶς οὖν ἔσται θεὸς ἡ τοιαύτη
she-may-hunt (a)-deer or (a)-boar how then will-be (a)-god the such
γυνὴ καὶ κυνηγὸς καὶ ῥεμβομένη μετὰ τῶν κυνῶν;»
woman and huntress and roaming with the dogs
Ἀφροδίτην δὲ λέγουσι καὶ αὐτὴν θεὰν εἶναι μοιχαλίδα.
Aphrodite and they-say also her (a)-goddess to-be adulteress
Ποτὲ γὰρ ἔσχε μοιχὸν τὸν Ἄρην, ποτὲ δὲ Ἀγχίσην,
at-times for she-had (as)-adulterer — Ares at-times and Anchises
ποτὲ δὲ Ἄδωνιν, οὗτινος καὶ τὸν θάνατον κλαίει, ζητοῦσα
at-times and Adonis whose also the death she-weeps seeking
τὸν ἐραστὴν αὐτῆς· ἣν λέγουσιν καὶ εἰς Ἅιδου καταβαίνειν,
the lover her who they-say also to Hades to-go-down
ὅπως ἐξαγοράσῃ τὸν Ἄδωνιν ἀπὸ τῆς Περσεφόνης. Εἶδες,
that she-may-ransom — Adonis from — Persephone did-you-see
ὦ βασιλεῦ, μείζονα ταύτης ἀφροσύνην; θεὰν παρεισάγειν
O king greater than-this folly (a)-goddess to-introduce
τὴν μοιχεύουσαν καὶ θρηνοῦσαν καὶ κλαίουσαν;»
the(-one) committing-adultery and lamenting and weeping
«Ἄδωνιν δὲ παρεισάγουσι θεὸν εἶναι κυνηγόν, καὶ τοῦτον
Adonis and they-introduce (a)-god to-be (a)-hunter and him
βιαίως ἀποθανεῖν πληγέντα ὑπὸ τοῦ ὑὸς, καὶ μὴ δυνηθέντα
violently to-have-died struck by the boar and not having-been-able
βοηθῆσαι τῇ ταλαιπωρίᾳ ἑαυτοῦ. Πῶς οὖν τῶν ἀνθρώπων
to-help the wretchedness of-himself how then of-the men
φροντίδα ποιήσεται ὁ μοιχὸς καὶ κυνηγὸς καὶ βιοθάνατος;»
care will-be-make the adulterer and hunter and violently-killed
«Ταῦτα πάντα καὶ πολλὰ τοιαῦτα καὶ πολλῷ πλεῖον
these(-things) all and many such-things and much more
αἰσχρότερα καὶ πονηρὰ παρεισήγαγον οἱ Ἕλληνες, βασιλεῦ,
shameful and evil introduced the Hellenes O-king
περὶ τῶν θεῶν αὐτῶν, ἃ οὔτε λέγειν θέμις, οὔτ᾽
about the gods their which neither to-say (is)-lawful nor

ἐπὶ μνήμης ὅλως φέρειν· ὅθεν λαμβάνοντες οἱ ἄνθρωποι
in memory at-all to-bear whence taking the men
ἀφορμὴν ἀπὸ τῶν θεῶν αὐτῶν, ἔπραττον πᾶσαν ἀνομίαν
occasion from the gods their they-practiced all lawlessness
καὶ ἀσέλγειαν καὶ ἀσέβειαν, καταμιαίνοντες γῆν τε καὶ
and licentiousness and impiety defiling earth both and
ἀέρα ταῖς δειναῖς αὐτῶν πράξεσιν.»
air with-the terrible their deeds
«Αἰγύπτιοι δὲ, ἀβελτερώτεροι καὶ ἀφρονέστεροι τούτων
Egyptians and sillier and more-foolish than-these
ὄντες, χεῖρον πάντων τῶν ἐθνῶν ἐπλανήθησαν. Οὐ
being worse than-all the nations went-astray not
γὰρ ἠρκέσθησαν τοῖς τῶν Χαλδαίων καὶ Ἑλλήνων
for they-were-content with-the of-the Chaldeans and Hellenes
σεβάσμασιν, ἀλλ᾽ ἔτι καὶ ἄλογα ζῶα παρεισήγαγον
objects-of-worship but further also irrational animals introduced
θεοὺς εἶναι χερσαίά τε καὶ ἔνυδρα, καὶ τὰ φυτὰ καὶ
(as)-gods to-be of-land both and of-water and the plants and
βλαστὰ, καὶ ἐμιάνθησαν ἐν πάσῃ μανίᾳ καὶ ἀσελγείᾳ
shoots and were-defiled in all madness and licentiousness
χεῖρον πάντων τῶν ἐθνῶν ἐπὶ τῆς γῆς.»
worse than-all the nations on the earth
«Ἀρχῆθεν γὰρ ἐσέβοντο τὴν Ἶσιν, ἔχουσαν ἀδελφὸν
from-the-beginning for they-worshiped — Isis having (as)-brother
καὶ ἄνδρα τὸν Ὄσιριν, τὸν σφαγέντα ὑπὸ τοῦ ἀδελφοῦ
and husband — Osiris the(-one) slaughtered by the brother
αὐτοῦ Τύφωνος. Καὶ διὰ τοῦτο φεύγει ἡ Ἶσις μετὰ
his Typhon and because-of this flees — Isis with
Ὥρου τοῦ υἱοῦ αὐτῆς εἰς Βύβλον τῆς Συρίας, ζητοῦσα
Horus the son her to Byblos — of-Syria seeking
τὸν Ὄσιριν, πικρῶς θρηνοῦσα, ἕως ηὔξησεν ὁ Ὧρος καὶ
— Osiris bitterly lamenting until grew-up — Horus and

ἀπέκτεινε τὸν Τύφωνα. Οὔτε οὖν ἡ Ἴσις ἴσχυσε βοηθῆσαι
killed — Typhon neither then — Isis was-able to-help
τῷ ἰδίῳ ἀδελφῷ καὶ ἀνδρί· οὔτε ὁ Ὄσιρις σφαζόμενος
the own brother and husband nor — Osiris being-slaughtered
ὑπὸ τοῦ Τύφωνος ἠδυνήθη ἀντιλαβέσθαι ἑαυτοῦ· οὔτε
by — Typhon was-able to-help himself nor
Τύφων ὁ ἀδελφοκτόνος, ἀπολλύμενος ὑπὸ τοῦ Ὥρου καὶ
Typhon the fratricide perishing by — Horus and
τῆς Ἴσιδος, εὐπόρησε ῥύσασθαι ἑαυτὸν τοῦ θανάτου.
— Isis could to-rescue himself from-the death
Καὶ ἐπὶ τοιούτοις ἀτυχήμασι γνωρισθέντες αὐτοὶ θεοὶ
and in such misfortunes having-been-known they gods
ὑπὸ τῶν ἀσυνέτων Αἰγυπτίων ἐνομίσθησαν· οἵτινες, μηδ᾽
by the senseless Egyptians were-thought who not-even
ἐν τούτοις ἀρκεσθέντες ἢ τοῖς λοιποῖς σεβάσμασι τῶν
in these content or with-the other objects-of-worship of-the
ἐθνῶν, καὶ τὰ ἄλογα ζῶα παρεισήγαγον θεοὺς εἶναι.»
nations also the irrational animals introduced (as)-gods to-be
«Τινὲς γὰρ αὐτῶν ἐσεβάσθησαν πρόβατον, τινὲς δὲ
some for of-them worshiped (a)-sheep some and
τράγον, ἕτεροι δὲ μόσχον καὶ τὸν χοῖρον, ἄλλοι δὲ τὸν
(a)-goat others and (a)-calf and the pig others and the
κόρακα καὶ τὸν ἱέρακα καὶ τὸν γῦπα καὶ τὸν ἀετὸν, καὶ
raven and the hawk and the vulture and the eagle and
ἄλλοι τὸν κροκόδειλον, τινὲς δὲ τὸν αἴλουρον καὶ τὸν
others the crocodile some and the cat and the
κύνα, καὶ τὸν λύκον καὶ τὸν πίθηκον, καὶ τὸν δράκοντα
dog and the wolf and the ape and the dragon
καὶ τὴν ἀσπίδα, καὶ ἄλλοι τὸ κρόμυον καὶ τὸ σκόροδον
and the asp and others the onion and the garlic
καὶ ἀκάνθας, καὶ τὰ λοιπὰ κτίσματα. Καὶ οὐκ αἰσθάνονται
and thorns and the other creatures and not they-perceive

οἱ ταλαίπωροι περὶ πάντων τούτων ὅτι οὐδὲν ἰσχύουσιν.
the wretched about all these that nothing they-avail
Ὁρῶντες γὰρ τοὺς θεοὺς αὐτῶν βιβρωσκομένους ὑπὸ
seeing for the gods their eaten by
ἑτέρων ἀνθρώπων καὶ καιομένους καὶ σφαττομένους, καὶ
other men and burned and slaughtered and
σηπομένους, οὐ συνῆκαν περὶ αὐτῶν ὅτι οὐκ εἰσὶ θεοί.»
rotting not they-understood about them that not they-are gods
«Πλάνην οὖν μεγάλην ἐπλανήθησαν οἵ τε Αἰγύπτιοι καὶ οἱ
(an)-error then great erred the both Egyptians and the
Χαλδαῖοι καὶ οἱ Ἕλληνες τοιούτους παρεισάγοντες θεοὺς,
Chaldeans and the Hellenes such introducing gods
καὶ ἀγάλματα αὐτῶν ποιοῦντες, καὶ θεοποιούμενοι τὰ
and statues of-them making and deifying the
κωφὰ καὶ ἀναίσθητα εἴδωλα. Καὶ θαυμάζω πῶς ὁρῶντες
dumb and senseless idols and I-marvel how seeing
τοὺς θεοὺς αὐτῶν ὑπὸ τῶν δημιουργῶν πριζομένους καὶ
the gods their by the craftsmen sawn and
πελεκωμένους, παλαιουμένους τε ὑπὸ τοῦ χρόνου καὶ
hewn grown-old both by the time and
ἀναλυομένους, καὶ χωνευομένους, οὐκ ἐφρόνησαν περὶ αὐτῶν
dissolved and melted not they-understood about them
ὅτι οὐκ εἰσὶ θεοί. Ὅτε γὰρ περὶ τῆς ἰδίας σωτηρίας
that not they-are gods when for about the own safety
οὐδὲν ἰσχύουσι, πῶς τῶν ἀνθρώπων πρόνοιαν ποιήσονται;
nothing they-avail how of-the men providence will-they-make
Ἀλλ' οἱ ποιηταὶ αὐτῶν καὶ φιλόσοφοι, τῶν τε Χαλδαίων
but the poets their and philosophers of-the both Chaldeans
καὶ Ἑλλήνων καὶ Αἰγυπτίων, θελήσαντες τοῖς ποιήμασιν
and Hellenes and Egyptians having-wished by-the poems
αὐτῶν καὶ συγγραφαῖς σεμνῦναι τοὺς παρ' αὐτοῖς θεοὺς,
their and writings to-glorify the among them gods

μειζόνως τὴν αἰσχύνην αὐτῶν ἐξεκάλυψαν καὶ γυμνὴν πᾶσι
the-more the shame their uncovered and naked to-all
προὔθηκαν. Εἰ γὰρ τὸ σῶμα τοῦ ἀνθρώπου πολυμερὲς
set-out if for the body of-the man many-membered
ὂν οὐκ ἀποβάλλεταί τι τῶν ἰδίων μελῶν, ἀλλὰ, πρὸς
being not casts-off any of-the own members but with
πάντα τὰ μέλη ἀδιάῤῥηκτον ἕνωσιν ἔχον, ἑαυτῷ ἐστὶ
all the members unbreakable union having with-itself is
σύμφωνον, πῶς ἐν φύσει θεοῦ μάχη καὶ διαφωνία ἔσται
harmonious how in nature of-god strife and discord will-be
τοσαύτη; εἰ γὰρ μία φύσις τῶν θεῶν ὑπῆρχεν, οὐκ
so-great if for one nature of-the gods there-were not
ὤφειλεν θεὸς θεὸν διώκειν, οὔτε σφάζειν, οὔτε κακοποιεῖν·
ought god god to-pursue nor to-slaughter nor to-harm
εἰ δὲ οἱ θεοὶ ὑπὸ θεῶν ἐδιώχθησαν καὶ ἐσφάγησαν, καὶ
if and the gods by gods were-pursued and slaughtered and
ἡρπάγησαν καὶ ἐκεραυνώθησαν, οὐκ ἔτι μία φύσις ἐστὶν,
seized and thunderstruck no longer one nature it-is
ἀλλὰ γνῶμαι διῃρημέναι, πᾶσαι κακοποιοὶ, ὥστε οὐδεὶς ἐξ
but wills divided all evil-doing so-that no-one of
αὐτῶν ἐστὶ θεός. Φανερὸν οὖν ἐστιν, ὦ βασιλεῦ, πλάνην
them is (a)-god manifest then it-is O king error
εἶναι πᾶσαν τὴν περὶ τῶν θεῶν φυσιολογίαν.»
to-be all the about the gods natural-philosophy
«Πῶς δὲ οὐ συνῆκαν οἱ σοφοὶ καὶ λόγιοι τῶν Ἑλλήνων ὅτι
how and not did-understand the wise and learned of-the Hellenes that
καὶ οἱ νόμους θέμενοι κρίνονται ὑπὸ τῶν ἰδίων νόμων;
also those laws having-laid-down are-judged by the own laws
Εἰ γὰρ οἱ νόμοι δίκαιοί εἰσιν, ἄδικοι πάντως οἱ θεοὶ αὐτῶν
if for the laws just are unjust surely the gods their
εἰσὶ, παράνομα ποιήσαντες, ἀλληλοκτονίας καὶ φαρμακίας,
are lawless(-things) having-done mutual-murders and sorceries

καὶ μοιχείας καὶ κλοπὰς, καὶ ἀρσενοκοιτίας. Εἰ δὲ καλῶς
and adulteries and thefts and sodomies if and well
ἔπραξαν ταῦτα, οἱ νόμοι ἄρα ἄδικοί εἰσι, κατὰ τῶν θεῶν
did these(-things) the laws then unjust are against the gods
συντεθέντες. Νυνὶ δὲ οἱ νόμοι καλοί εἰσι καὶ δίκαιοι, τὰ
composed now but the laws good are and just the
καλὰ ἐπαινοῦντες καὶ τὰ κακὰ ἀπαγορεύοντες· τὰ δὲ
good(-things) praising and the evil(-things) forbidding the and
ἔργα τῶν θεῶν αὐτῶν παράνομα· παράνομοι ἄρα οἱ θεοὶ
works of-the gods their lawless lawless then the gods
αὐτῶν, καὶ ἔνοχοι πάντες θανάτου καὶ ἀσεβεῖς οἱ τοιούτους
their and liable all of-death and impious those such
θεοὺς παρεισάγοντες. Εἰ μὲν γὰρ μυθικαὶ αἱ περὶ αὐτῶν
gods introducing if indeed for mythical the about them
ἱστορίαι, οὐδέν εἰσιν, εἰ μὴ μόνον λόγοι· εἰ δὲ φυσικαὶ,
stories nothing they-are if not only words if and natural
οὐκ ἔτι θεοί εἰσιν οἱ ταῦτα ποιήσαντες καὶ παθόντες·
no longer gods are those these(-things) having-done and having-suffered
εἰ δὲ ἀλληγορικαὶ, μῦθοί εἰσι καὶ οὐκ ἄλλο τι.»
if and allegorical myths they-are and not other anything

VII · NACHOR'S VICTORY

All the worship of many gods is error; the invisible Creator alone is to be worshiped. The Jews, led out of Egypt with signs and wonders, served the gods of the nations, killed their prophets, and handed the Son of God to Pilate; they worship the one almighty God, but not according to knowledge, since they deny Christ. The Christians trace their descent from Jesus Christ, born of a virgin, crucified, and risen, and they live in purity, mercy, and truth, as their writings show. The king is changed with anger, his orators stand speechless, and Ioasaph glorifies the Lord. Bound by his own proclamation, the king cannot harm Nachor and hints to him to yield; at his son's request he grants him Nachor for the night. In private Ioasaph tells Nachor he knows he is no Barlaam, thanks him for his speech, and urges him to repent.

«Ἀποδέδεικται τοίνυν, ὦ βασιλεῦ, ταῦτα πάντα τὰ πολύθεα
it-has-been-shown therefore O king these all the of-many-gods
σεβάσματα πλάνης ἔργα καὶ ἀπωλείας ὑπάρχειν. Οὐ χρὴ
objects-of-worship of-error works and of-destruction to-be not it-is-right
οὖν θεοὺς ὀνομάζειν ὁρατοὺς καὶ μὴ ὁρῶντας· ἀλλὰ τὸν
then gods to-name visible and not seeing but the
ἀόρατον καὶ πάντας δημιουργήσαντα δεῖ σέβεσθαι Θεόν.»
invisible and all having-created one-must to-worship God
«Ἔλθωμεν οὖν, ὦ βασιλεῦ, καὶ ἐπὶ τοὺς Ἰουδαίους, ὅπως
let-us-come then O king also to the Jews that
ἴδωμεν τί φρονοῦσι καὶ αὐτοὶ περὶ θεοῦ. Οὗτοι γὰρ,
we-may-see what think also they about God these for
τοῦ Ἀβραὰμ ὄντες ἀπόγονοι καὶ Ἰσαάκ τε καὶ Ἰακὼβ,
— of-Abraham being descendants and of-Isaac both and of-Jacob
παρῴκησαν εἰς Αἴγυπτον. Ἐκεῖθεν δὲ ἐξήγαγεν αὐτοὺς ὁ
sojourned in Egypt from-there and led-out them —
Θεὸς «ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ» διὰ
God with hand mighty and with arm lofty through

Μωσέως τοῦ νομοθέτου αὐτῶν, καὶ τέρασι πολλοῖς
Moses the lawgiver their and with-wonders many
καὶ σημείοις ἐγνώρισεν αὐτοῖς τὴν ἑαυτοῦ δύναμιν.
and signs he-made-known to-them the his-own power
Ἀλλ', ἀγνώμονες καὶ αὐτοὶ φανέντες καὶ ἄχρηστοι,
but ungrateful also they having-appeared and useless
πολλάκις ἐλάτρευσαν τοῖς τῶν ἐθνῶν σεβάσμασι, καὶ
often served the of-the nations objects-of-worship and
τοὺς ἀπεσταλμένους πρὸς αὐτοὺς προφήτας καὶ δικαίους
the sent to them prophets and just(-men)
ἀπέκτειναν. Εἶτα ὡς εὐδόκησεν ὁ υἱὸς τοῦ Θεοῦ ἐλθεῖν ἐπὶ
killed then when was-pleased the son — of-God to-come on
τῆς γῆς, ἐμπαροινήσαντες εἰς αὐτὸν, προέδωκαν Πιλάτῳ
the earth having-behaved-drunkenly toward him they-banded-over to-Pilate
τῷ ἡγεμόνι τῶν Ῥωμαίων καὶ σταυρῷ κατεδίκασαν, μὴ
the governor of-the Romans and to-(the)-cross condemned(-him) not
αἰδεσθέντες τὰς εὐεργεσίας αὐτοῦ, καὶ τὰ ἀναρίθμητα
having-respected the benefactions his and the countless
θαύματα ἅπερ ἐν αὐτοῖς εἰργάσατο. Διὸ ἀπώλοντο
wonders which among them he-worked wherefore they-perished
τῇ ἰδίᾳ παρανομίᾳ. Σέβονται γὰρ καὶ νῦν Θεὸν τὸν
by-the own lawlessness they-worship for also now God the
μόνον παντοκράτορα, ἀλλ' οὐ κατ' ἐπίγνωσιν· τὸν γὰρ
only almighty but not according-to knowledge — for
Χριστὸν ἀρνοῦνται τὸν υἱὸν τοῦ Θεοῦ, καὶ εἰσὶ παρόμοιοι
Christ they-deny the son — of-God and are like
τοῖς ἔθνεσι, κἂν ἐγγίζειν πως τῇ ἀληθείᾳ δοκῶσιν,
to-the gentiles even-if to-approach somehow the truth they-seem
ἧς ἑαυτοὺς ἐμάκρυναν. Ταῦτα περὶ τῶν Ἰουδαίων.»
from-which themselves they-removed these(-things) about the Jews

«Οἱ δὲ χριστιανοὶ γενεαλογοῦνται ἀπὸ τοῦ κυρίου Ἰησοῦ
the and Christians trace-their-descent from the Lord Jesus
Χριστοῦ. Οὗτος δὲ ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ὑψίστου
Christ this-one and the son — of-God the most-high
ὁμολογεῖται, ἐν Πνεύματι Ἁγίῳ ἀπ᾽ οὐρανοῦ καταβὰς
is-confessed in Spirit holy from heaven having-come-down
διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων· καὶ, ἐκ παρθένου
because-of the salvation of-the men and from (a)-virgin
ἁγίας γεννηθεὶς ἀσπόρως τε καὶ ἀφθόρως, σάρκα ἀνέλαβε,
holy born seedlessly both and incorruptibly flesh he-took-up
καὶ ἀνεφάνη ἀνθρώποις, ὅπως ἐκ τῆς πολυθέου πλάνης
and appeared to-men that from the polytheistic error
αὐτοὺς ἀνακαλέσηται. Καὶ, τελέσας τὴν θαυμαστὴν αὐτοῦ
them he-might-call-back and having-completed the wonderful his
οἰκονομίαν, διὰ σταυροῦ θανάτου ἐγεύσατο ἑκουσίᾳ βουλῇ
dispensation through (the)-cross death he-tasted by-willing counsel
κατ᾽ οἰκονομίαν μεγάλην· μετὰ δὲ τρεῖς ἡμέρας ἀνεβίω
by dispensation great after and three days he-revived
καὶ εἰς οὐρανοὺς ἀνῆλθεν. Οὗ τὸ κλέος τῆς παρουσίας
and into heavens went-up of-whom the fame of-the coming
ἐκ τῆς παρ᾽ αὐτοῖς καλουμένης εὐαγγελικῆς ἁγίας γραφῆς
from the among them called gospel holy writing
ἔξεστί σοι γνῶναι, βασιλεῦ, ἐὰν ἐντύχῃς. Οὗτος δώδεκα
it-is-possible for-you to-know O-king if you-read this-one twelve
ἔσχε μαθητὰς, οἳ, μετὰ τὴν ἐν οὐρανοῖς ἄνοδον αὐτοῦ,
had disciples who after the into heavens ascent his
ἐξῆλθον εἰς τὰς ἐπαρχίας τῆς οἰκουμένης, καὶ ἐδίδαξαν τὴν
went-out into the provinces of-the world and taught the
ἐκείνου μεγαλωσύνην· καθάπερ εἷς ἐξ αὐτῶν τὰς καθ᾽ ἡμᾶς
his majesty as one of them the among us
περιῆλθε χώρας, τὸ δόγμα κηρύττων τῆς ἀληθείας. Ὅθεν
went-about lands the doctrine proclaiming of-the truth whence

οἱ εἰσέτι διακονοῦντες τῇ δικαιοσύνῃ τοῦ κηρύγματος
those still serving the righteousness of-the preaching
αὐτῶν, καλοῦνται χριστιανοί. Καὶ οὗτοι εἰσὶν οἱ ὑπὲρ
their are-called Christians and these are those above
πάντα τὰ ἔθνη τῆς γῆς εὑρόντες τὴν ἀλήθειαν· γινώσκουσι
all the nations of-the earth having-found the truth they-know
γὰρ τὸν Θεὸν, κτίστην καὶ δημιουργὸν τῶν ἁπάντων ἐν
for — God creator and maker of-the all in
Υἱῷ μονογενεῖ καὶ Πνεύματι Ἁγίῳ, καὶ ἄλλον θεὸν πλὴν
Son only-begotten and Spirit holy and other god beside
τούτου οὐ σέβονται. Ἔχουσι τὰς ἐντολὰς αὐτοῦ τοῦ
this not they-worship they-have the commandments himself of-the
κυρίου Ἰησοῦ Χριστοῦ ἐν ταῖς καρδίαις κεχαραγμένας,
Lord Jesus Christ in the hearts engraved
καὶ ταύτας φυλάττουσι, προσδοκῶντες ἀνάστασιν νεκρῶν
and these they-keep awaiting (the)-resurrection of-(the)-dead
καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Οὐ μοιχεύουσιν, οὐ
and (the)-life of-the coming age not they-commit-adultery not
πορνεύουσιν, οὐ ψευδομαρτυροῦσιν, οὐκ ἐπιθυμοῦσι τὰ
they-fornicate not they-bear-false-witness not they-covet the(-things)
ἀλλότρια, τιμῶσι πατέρα καὶ μητέρα, καὶ τοὺς πλησίον
of-others they-honor father and mother and the neighbors
φιλοῦσι, δίκαια κρίνουσιν, ὅσα οὐ θέλουσιν αὐτοῖς
they-love just(-things) they-judge whatever not they-wish to-themselves
γίνεσθαι ἑτέρῳ οὐ ποιοῦσι, τοὺς ἀδικοῦντας αὐτοὺς
to-happen to-another not they-do those wronging them
παρακαλοῦσι καὶ προσφιλεῖς αὐτοὺς ἑαυτοῖς ποιοῦσι,
they-exhort and friendly them to-themselves they-make
τοὺς ἐχθροὺς εὐεργετεῖν σπουδάζουσι, πραεῖς εἰσὶ καὶ
the enemies to-benefit they-strive meek they-are and
ἐπιεικεῖς, ἀπὸ πάσης συνουσίας ἀνόμου καὶ ἀπὸ πάσης
gentle from every intercourse lawless and from every

ἀκαθαρσίας ἐγκρατεύονται, χήραν οὐχ ὑπερορῶσιν, ὀρφανὸν
uncleanness they-abstain (a)-widow not they-overlook (an)-orphan
οὐ λυποῦσιν· ὁ ἔχων τῷ μὴ ἔχοντι ἀφθόνως
not they-grieve the(-one) having to-the(-one) not having ungrudgingly
ἐπιχορηγεῖ· ξένον ἐὰν ἴδωσιν, ὑπὸ στέγην εἰσάγουσι, καὶ
supplies (a)-stranger if they-see under roof they-bring-in and
χαίρουσιν ἐπ᾽ αὐτῷ ὡς ἐπὶ ἀδελφῷ ἀληθινῷ· οὐ γὰρ κατὰ
rejoice over him as over (a)-brother true not for according-to
σάρκα ἀδελφοὺς ἑαυτοὺς καλοῦσιν, ἀλλὰ κατὰ πνεῦμα.
flesh brothers themselves they-call but according-to spirit
Ἕτοιμοί εἰσιν ὑπὲρ Χριστοῦ τὰς ψυχὰς αὐτῶν προέσθαι·
ready they-are for Christ the souls their to-give-up
τὰ γὰρ προστάγματα αὐτοῦ ἀσφαλῶς φυλάττουσιν,
the for commands his securely they-keep
ὁσίως καὶ δικαίως ζῶντες, καθὼς κύριος ὁ Θεὸς αὐτοῖς
holily and justly living as (the)-Lord — God them
προσέταξεν, εὐχαριστοῦντες αὐτῷ κατὰ πᾶσαν ὥραν ἐν
commanded giving-thanks to-him at every hour in
παντὶ βρώματι καὶ ποτῷ καὶ τοῖς λοιποῖς ἀγαθοῖς.»
every food and drink and the other goods
«Ὄντως οὖν αὕτη ἐστὶν ἡ ὁδὸς τῆς ἀληθείας, ἥτις τοὺς
truly then this is the road of-the truth which those
ὁδεύοντας αὐτὴν εἰς τὴν αἰώνιον χειραγωγεῖ βασιλείαν,
traveling it to the eternal leads-by-the-hand kingdom
τὴν ἐπηγγελμένην παρὰ Χριστοῦ ἐν τῇ μελλούσῃ ζωῇ.
the(-one) promised by Christ in the coming life
Καὶ ἵνα γνῷς, βασιλεῦ, ὅτι οὐκ ἀπ᾽ ἐμαυτοῦ ταῦτα
and that you-may-know O-king that not from myself these(-things)
λέγω, ταῖς γραφαῖς ἐγκύψας τῶν χριστιανῶν, εὑρήσεις
I-say into-the writings having-looked of-the Christians you-will-find
οὐδὲν ἔξω τῆς ἀληθείας με λέγειν.»
nothing outside the truth me to-say

«Καλῶς οὖν συνῆκεν ὁ υἱός σου, καὶ δικαίως ἐδιδάχθη
well then understood the son your and justly was-taught
λατρεύειν ζῶντι Θεῷ καὶ σωθῆναι εἰς τὸν μέλλοντα
to-serve (the)-living God and to-be-saved for the coming
ἐπέρχεσθαι αἰῶνα. Μεγάλα γὰρ καὶ θαυμαστὰ τὰ
to-come age great for and wonderful the(-things)
ὑπὸ τῶν χριστιανῶν λεγόμενα καὶ πραττόμενα· οὐ γὰρ
by the Christians said and done not for
ἀνθρώπων ῥήματα λαλοῦσιν, ἀλλὰ τὰ τοῦ Θεοῦ. Τὰ δὲ
of-men words they-speak but the(-words) — of-God the and
λοιπὰ ἔθνη πλανῶνται, καὶ πλανῶσιν ἑαυτούς· ὁδεύοντες
other nations err and lead-astray themselves walking
γὰρ ἐν σκότει προσρήσσονται ἑαυτοῖς ὡς μεθύοντες.»
for in darkness they-dash against-one-another as drunken(-men)
«Ἕως ὧδε ὁ πρὸς σέ μου λόγος, βασιλεῦ, ὁ ὑπὸ τῆς
until here the to you my speech O-king the(-one) by the
ἀληθείας ἐν τῷ νοΐ μου ὑπαγορευθείς. Διὸ παυσάσθωσαν
truth in the mind my dictated wherefore let-cease
οἱ ἀνόητοί σου σοφοὶ ματαιολογοῦντες κατὰ τοῦ Κυρίου·
the senseless your wise(-men) talking-vainly against the Lord
συμφέρει γὰρ ὑμῖν Θεὸν κτίστην σέβεσθαι καὶ τὰ ἄφθαρτα
it-is-profitable for to-you God (the)-creator to-worship and the incorruptible
αὐτοῦ ἐνωτίζεσθαι ῥήματα, ἵνα, κρίσιν ἐκφυγόντες καὶ
his to-give-ear-to words that judgment having-escaped and
τιμωρίαν, ζωῆς ἀνωλέθρου δειχθείητε κληρονόμοι.»
punishment of-life indestructible you-may-be-shown heirs
Ταῦτα ὡς διεξῆλθεν ὁ Ναχὼρ, ὁ μὲν βασιλεὺς τῷ
these(-things) when went-through — Nachor the indeed king in-the
θυμῷ ἠλλοιοῦτο· οἱ δὲ ῥήτορες αὐτοῦ καὶ νεωκόροι
wrath was-changed the and orators his and temple-wardens
ἄφωνοι ἵσταντο, μὴ δυνάμενοι ἀντιλέγειν, ἀλλ' ἦ σαθρά
speechless stood not being-able to-gainsay but — rotten

τινα καὶ οὐδαμινὰ λογύδρια. Ὁ δὲ τοῦ βασιλέως υἱὸς
some and worthless little-words the and of-the king son
ἠγαλλιᾶτο τῷ πνεύματι, καὶ φαιδρῷ τῷ προσώπῳ
exulted in-the spirit and with-bright the face
ἐδόξαζε τὸν Κύριον, τὸν ἐξ ἀπόρου πόρον διδόντα
glorified the Lord the(-one) from impasse (a)-way giving
τοῖς πεποιθόσιν ἐπ᾽ αὐτὸν, ὃς καὶ διὰ τοῦ πολεμίου
to-those trusting on him who also through the foe
καὶ ἐχθροῦ τὴν ἀλήθειαν ἐκράτυνε· καὶ ὁ τῆς πλάνης
and enemy the truth strengthened and the of-the error
ἔξαρχος συνήγορος τοῦ ὀρθοῦ λόγου ἐδείκνυτο.
leader advocate of-the right word was-shown
Ὁ μέντοι βασιλεὺς, καίπερ δεινῶς ὀργιζόμενος τῷ Ναχὼρ,
the however king although terribly being-angered — at-Nachor
οὐδὲν ὅμως ἐργάσασθαι κακὸν εἰς αὐτὸν ἠδύνατο, διὰ
nothing nevertheless to-do evil to him was-able because-of
τὸ προλεχθὲν ἐπὶ πάντων θέσπισμα, ἀδεῶς αὐτὸν λέγειν
the beforehand-proclaimed before all decree fearlessly him to-speak
ὑπὲρ τῶν χριστιανῶν προτρεπόμενον· πολλὰ δὲ αὐτὸς
for the Christians urging many(-things) and he
ἀντιλέγων ὑπεμίμνησκε δι᾽ αἰνιγμάτων ὑπενδοῦναι τῆς
gainsaying reminded(-him) through riddles to-give-way from-the
ἐνστάσεως καὶ ἡττηθῆναι τῇ διαλέξει τῶν ῥητόρων. Ὁ δὲ
resistance and to-be-defeated in-the debate by-the orators he and
μειζόνως ὑπερίσχυε, διαλύων πάσας αὐτῶν τὰς προτάσεις
the-more prevailed dissolving all their the propositions
καὶ συλλογισμοὺς, καὶ ἐλέγχων τὸ ἀπατηλὸν τῆς πλάνης.
and syllogisms and refuting the deceitfulness of-the error
Σχεδὸν δὲ μέχρις ἑσπέρας παραταθείσης τῆς διαλέξεως,
almost and until evening having-been-prolonged the debate

ἐκέλευσεν ὁ βασιλεὺς διαλυθῆναι τὸ συνέδριον, ὡς τῇ
ordered the king to-be-dissolved the council as on-the
ἐπιούσῃ βουλόμενος αὖθις περὶ τούτου διασκέψασθαι.
following(-day) wishing again about this to-consider
Ὁ δὲ υἱὸς ἔφη τῷ βασιλεῖ· «Ὡς ἐν ἀρχῇ δικαίαν
the and son said to-the king as in (the)-beginning (a)-just
ἐκέλευσας κρίσιν γενέσθαι, δέσποτα, δικαιοσύνην καὶ τῷ
you-ordered judgment to-take-place master justice also to-the
τέλει ἐπίθες, τῶν δύο τὸ ἕτερον ποιῶν· ἢ τὸν ἐμὸν
end put of-the two the one doing either the my
διδάσκαλον ἐπίτρεψον μεῖναι μετ᾽ ἐμοῦ τῇ νυκτὶ ταύτῃ,
teacher allow to-remain with me the night this
ὡς ὁμοῦ διασκεψώμεθα περὶ ὧν χρὴ τὴν αὔριον
so-that together we-may-consider about what one-must the tomorrow
λαλῆσαι τοῖς πολεμοῦσιν ἡμᾶς, τοὺς σοὺς δὲ πάλιν σὺ
to-say to-those warring-against us the your and again you
μεθ᾽ ἑαυτοῦ λαβών, τὰ εἰκότα μελετήσατε καθὼς
with yourself having-taken the(-things) fitting study(-together) as
βούλεσθε· ἢ, τοὺς σοὺς ἐμοὶ παραχωρήσας τῇ νυκτὶ
you-wish or the yours to-me having-ceded the night
ταύτῃ, λάβε τὸν ἐμὸν πρὸς ἑαυτόν. Εἰ δὲ ἀμφότεροι ὦσι
this take the mine to yourself if but both be
παρὰ σοί, ὁ μὲν ἐμὸς ἐν θλίψει καὶ φόβῳ, οἱ δὲ σοὶ ἐν
with you the indeed mine in affliction and fear the and yours in
χαρᾷ καὶ ἀνέσει, οὔ μοι δοκεῖ δικαίαν εἶναι κρίσιν, ἀλλὰ
joy and ease not to-me seems just to-be judgment but
δυναστείαν τῆς ἐξουσίας καὶ παράβασιν τῶν συνθηκῶν.»
tyranny of-the power and transgression of-the agreements
Ἡττηθεὶς δὲ ὁ βασιλεὺς τῷ ἀστείῳ τοῦ ῥήματος, τοὺς
defeated and the king by-the wit of-the word the
σοφοὺς αὐτοῦ καὶ ἱερεῖς πρὸς ἑαυτὸν λαβόμενος, τὸν
wise his and priests to himself having-taken —

Ναχὼρ παραχωρεῖ τῷ υἱῷ, ἐλπίδας ἔτι κεκτημένος ἐπ᾽
Nachor cedes to-the son hopes still having on
αὐτὸν καὶ φυλάττειν τὰ ὡμολογημένα δοκῶν.
him and to-keep the(-things) agreed thinking(-he-would)
Ἀπέρχεται τοίνυν ὁ τοῦ βασιλέως υἱὸς εἰς τὸ ἑαυτοῦ
goes-off therefore the of-the king son to the his-own
παλάτιον, ὥσπερ τις ὀλυμπιονίκης τῶν ἀντιπάλων
palace as some Olympic-victor the opponents
κρατήσας, ἔχων μεθ᾽ ἑαυτοῦ τὸν Ναχώρ. Καὶ κατὰ μόνας
having-conquered having with himself — Nachor and in private
καλέσας αὐτὸν ἔφη· «Μὴ νομίσῃς λανθάνειν ἐμὲ τὰ
having-called him said not think to-escape me the(-things)
κατὰ σέ· οἶδα γάρ σε ἀκριβῶς μὴ τὸν θειότατον εἶναι
about you I-know for you exactly not the most-divine to-be
Βαρλαὰμ, ἀλλὰ Ναχὼρ τὸν ἀστρολόγον. Καὶ θαυμάζω πῶς
Barlaam but Nachor the astrologer and I-marvel how
ἔδοξεν ὑμῖν τοιαύτην ὑποκριθῆναι ὑπόκρισιν καὶ τοσαύτῃ
it-seemed(-good) to-you such to-play part and in-so-great
ἀμβλυωπίᾳ νομίσαι περιβαλεῖν με μέσης ἡμέρας, ἵνα λύκον
dimness-of-sight to-think to-wrap me in-midst of-day that (a)-wolf
δέξωμαι ἀντὶ προβάτου. Ἀλλὰ καλῶς ὁ λόγος ᾄδεται,
I-might-receive instead-of (a)-sheep but well the saying is-sung
ὅτι «καρδία μωροῦ μάταια νοήσει». Τὸ μὲν οὖν ἐνθύμημα
that (the)-heart of-(a)-fool vain(-things) will-think the indeed then thought
τοῦτο καὶ βούλευμα ὑμῶν ἕωλον ἦν καὶ πάντη ἀνόητον· τὸ
this and counsel your stale was and wholly senseless the
δὲ ἔργον ὃ εἰργάσω πάσης ἐστὶ συνέσεως πεπληρωμένον.
but deed which you-did of-all is understanding filled
Διὸ χαῖρε, Ναχὼρ, καὶ ἀγαλλιῶ· πολλάς γάρ σοι
wherefore rejoice Nachor and exult many for to-you
χάριτας ὁμολογῶ, ὅτι συνήγορος σήμερον τῆς ἀληθείας
thanks I-confess that advocate today of-the truth

γέγονας, καὶ οὐκ ἐμίανας τὰ χείλη σου λόγοις μιαροῖς καὶ
you-have-become and not you-defiled the lips your with-words foul and
ὑποκρίσει δολίᾳ, ἀλλὰ τῶν πολλῶν μᾶλλον ἐξεκάθαρας
with-pretense guileful but from-the many rather you-cleansed
μολυσμάτων, τὴν πλάνην τῶν ψευδωνύμων διελέγξας θεῶν
defilements the error of-the falsely-named having-refuted gods
καὶ τὴν ἀλήθειαν τῶν χριστιανικῶν δογμάτων κρατύνας.
and the truth of-the Christian doctrines having-strengthened
Ἐγὼ δὲ ἐσπούδασα ἀγαγεῖν σε μετ᾽ ἐμοῦ δυοῖν ἕνεκα·
I and hastened to-bring you with me of-two for-the-sake
ἵνα μὴ, κατὰ μόνας ὁ βασιλεὺς λαβών σε, τιμωρήσηται
that not in private the king having-taken you might-punish
ἐφ᾽ ᾧ οὐ τὰ καταθύμια αὐτῷ ἐφθέγξω, καὶ ἵνα τὴν
for which not the(-things) desired by-him you-uttered and that the
χάριν ταύτην, ἣν σήμερον εἰργάσω, ἀνταμείψωμαι. Τίς
favor this which today you-did I-may-repay what
δὲ ἡ ἀντάμειψις; τὸ ὑποδεῖξαί σοι ἐκκλῖναι τῆς πονηρᾶς
and the repayment the to-show you to-turn-aside from-the evil
ὁδοῦ καὶ ὀλισθηρᾶς ἣν ὥδευσας ἕως νῦν, πορευθῆναι δὲ
road and slippery which you-traveled until now to-go and
τὴν εὐθεῖαν καὶ σωτήριον τρίβον, ἣν οὐκ ἀγνοῶν, ἀλλ᾽
the straight and saving path which not being-ignorant but
ἐθελοντὶ κακουργῶν, ἐξέφυγες, βαράθροις καὶ κρημνοῖς
willingly doing-evil you-fled into-pits and cliffs
ἀνομίας σεαυτὸν κατακρημνίσας. Σύνες οὖν, ὦ Ναχὼρ,
of-lawlessness yourself having-hurled understand then O Nachor
συνετὸς ὢν, καὶ προθυμήθητι τὸν Χριστὸν μόνον καὶ
intelligent being and be-eager — Christ alone and
τὴν παρ᾽ αὐτῷ κρυπτομένην ζωὴν κερδᾶναι, τῶν ῥεόντων
the with him hidden life to-gain the fleeting
τούτων καὶ φθειρομένων ὑπεριδών. Οὐ γὰρ τὸν πάντα
these and perishing(-things) having-disdained not for the whole

ζήσῃ αἰῶνα· ἀλλὰ, θνητὸς ὢν, ἀπελεύσῃ ὅσον οὔπω,
you-will-live age but mortal being you-will-depart as-much not-yet
καθὼς καὶ οἱ πρὸ σοῦ πάντες. Καὶ οὐαί σοι, εἰ τὸν
as also those before you all and woe to-you if the
βαρὺν φόρτον τῆς ἁμαρτίας ἐπιφερόμενος ἀπελεύσῃ ἐκεῖ
heavy burden of-the sin carrying you-will-depart there
ὅπου κρίσις δικαία καὶ ἀνταπόδοσις τῶν ἔργων ἐστὶ, καὶ
where judgment just and recompense of-the works is and
μὴ ἀποῤῥίψῃς τοῦτον, ῥᾳδίας οὔσης τῆς ἀποθέσεως.»
not cast-off this easy being the putting-down

VIII · NACHOR'S REPENTANCE; THEUDAS

Pierced to the soul, Nachor confesses that he knows the true God but despairs of forgiveness for his sins; Ioasaph assures him that repentance is always received, and sends him away with a kiss. Nachor runs to a priest-monk hiding in a cave and is baptized. The king, his hope gone, beats and disgraces his orators and begins to doubt his gods, yet stays bound by pleasure. Ioasaph lives quietly in his palace, disdaining games and hunts, and prays to see Barlaam again. At a public festival the temple wardens, fearing the king's neglect, fetch from his desert cave the sorcerer Theudas, the king's friend and diviner, as their last hope.

Ὁ Ναχὼρ τοίνυν, κατανυγεὶς τὴν ψυχὴν ἐπὶ τοῖς λόγοις
— Nachor therefore pierced in-the soul at the words
τούτοις, ἔφη· «Καλῶς εἶπας, ὦ βασιλεῦ, καλῶς. Οἶδα γὰρ
these said well you-said O king well I-know for
κἀγὼ τὸν ἀληθινὸν καὶ ἀψευδῆ Θεὸν, δι' οὗ τὰ πάντα
also-I the true and unlying God through whom the all(-things)
γέγονε, καὶ τὴν μέλλουσαν κρίσιν ἐπίσταμαι, ἀπὸ πολλῶν
came-to-be and the coming judgment I-know from many
γραφικῶν ῥημάτων ταύτην ἀκηκοώς· ἀλλ' ἡ πονηρὰ
scriptural words it having-heard but the evil

συνήθεια καὶ ἡ τοῦ παλαιοῦ ἐπήρεια πτερνιστοῦ τοὺς
habit and the of-the old abuse supplanter the
ὀφθαλμοὺς ἐτύφλωσε τῆς καρδίας μου, καὶ σκότος βαθὺ
eyes blinded of-the heart my and darkness deep
περιέχυσέ μου τῷ λογισμῷ. Νυνὶ δὲ ἐπὶ τῷ ῥήματί σου, τὸ
poured-around my the reasoning now and at the word your the
κάλυμμα τὸ ζοφῶδες ἀποῤῥίψας, τῷ φωτὶ προσδραμοῦμαι
veil the gloomy having-cast-off to-the light I-will-run
τοῦ προσώπου Κυρίου. Ἴσως ἐλεήσει με, καὶ θύραν
of-the face of-(the)-Lord perhaps he-will-pity me and (a)-door
ἀνοίξει μετανοίας τῷ πονηρῷ δούλῳ καὶ ἀποστάτῃ, εἰ καὶ
he-will-open of-repentance to-the evil slave and apostate if even
ἀδύνατον δοκεῖ μοι ἄφεσιν γενέσθαι τῶν ψάμμου βαρυτέρων
impossible seems to-me remission to-come-about of-the than-sand heavier
μου πταισμάτων, ὧν ἐν γνώσει καὶ ἀγνοίᾳ ἥμαρτον
my stumbles which in knowledge and ignorance I-sinned
νηπιόθεν καὶ μέχρι ταύτης μου τῆς ἡλικίας καὶ πολιᾶς.»
from-infancy and until this my the age and gray-hair
Ταῦτα ὡς ἤκουσεν ὁ τοῦ βασιλέως υἱὸς, εὐθὺς
these(-things) when heard the of-the king son at-once
διανίσταται καὶ θερμότερος τὴν ψυχὴν γίνεται. Καὶ
rises-up and warmer in-the soul becomes and
τὸν λογισμὸν τοῦ Ναχὼρ πρὸς ἀπόγνωσιν συγκύπτοντα
the reasoning — of-Nachor to despair stooping
ἀναλαμβάνειν ἄρχεται, καὶ στερῤῥότερον περὶ τὴν Χριστοῦ
to-raise-up he-begins and more-firmly about the of-Christ
πίστιν διατιθέναι, «Μηδεὶς, ὦ Ναχώρ», λέγων, «μηδεὶς
faith to-dispose no O Nachor saying no
ἔστω σοι περὶ τούτου δισταγμός. Γέγραπται γὰρ δυνατὸν
let-be to-you about this doubt it-is-written for possible
εἶναι τῷ Θεῷ καὶ ἐκ τῶν λίθων τούτων ἐγεῖραι
to-be — for-God also from the stones these to-raise

τέκνα τῷ Ἀβραάμ· ὅπερ τί ἄλλο ἢ τοῦτό ἐστιν,
children — for-Abraham which what other than this is
ὡς ὁ πατὴρ ἔφη Βαρλαὰμ, τὸ ἐξ ἀνελπίστων καὶ
as the father said Barlaam the from hopeless(-ones) and
πάσαις καταχρανθέντων ἀνομίαις δύνασθαι σωθῆναι, καὶ
by-all defiled lawlessnesses to-be-able to-be-saved and
δούλους γενέσθαι Χριστοῦ, ὃς δι' ἄκραν φιλανθρωπίας
slaves to-become of-Christ who because-of utmost of-love-for-mankind
ὑπερβολὴν πᾶσι τοῖς ἐπιστρέφουσι τὰς οὐρανίους διήνοιξε
excess to-all those turning the heavenly opened
πύλας, οὐδενὶ τῶν πάντων τὴν τῆς σωτηρίας ἀποκλείσας
gates to-no-one of-the all the of-the salvation having-shut
ὁδὸν, ἀλλὰ συμπαθῶς τοὺς μετανοοῦντας δεχόμενος; Διὰ
road but compassionately those repenting receiving because-of
ταῦτα γὰρ καὶ τοῖς περὶ πρώτην καὶ τρίτην, ἕκτην
these(-things) for also to-those about (the)-first and third sixth
τε καὶ ἐννάτην, καὶ ἑνδεκάτην ὥραν προσελθοῦσι τῷ
both and ninth and eleventh hour having-come to-the
ἀμπελῶνι κατ' ἴσον ἀφορίζεται ὁ μισθὸς, ὡς τὸ ἅγιον
vineyard by equal is-assigned the wage as the holy
φησὶν εὐαγγέλιον· ὥστε, κἂν μέχρι τοῦ νῦν ἐν ἁμαρτίαις
says gospel so-that even-if until the now in sins
κατεγήρασας, ἐὰν θερμῶς προσέλθῃς, τῶν αὐτῶν τοῖς
you-have-grown-old if warmly you-approach of-the same with-those
ἐκ νεότητος ἀγωνισαμένοις ἀξιωθήσῃ γερῶν.»
from youth having-contended you-will-be-deemed-worthy rewards
Πολλὰ δὲ καὶ ἕτερα περὶ μετανοίας λαλήσας ὁ
many(-things) and also other about repentance having-spoken the
θειότατος νεανίας τῷ παλαιωθέντι ἐν κακοῖς Ναχὼρ, καὶ
most-divine youth to-the grown-old in evils Nachor and
ἵλεων γενέσθαι τὸν Χριστὸν ὑποσχόμενος καὶ ἐγγυησάμενος
gracious to-become — Christ having-promised and having-guaranteed

τὴν ἄφεσιν, καὶ πληροφορήσας αὐτὸν ὡς ἕτοιμός ἐστιν ὁ
the remission and having-assured him that ready is the
ἀγαθὸς ἀεὶ τοῦ δέχεσθαι τὴν μετάνοιαν, τὴν νενοσηκυῖαν
good(-one) always of-the to-receive the repentance the sick
ψυχὴν αὐτοῦ οἷά τισι φαρμάκοις καταμαλάξας, καθαρὰν
soul his as with-some remedies having-softened pure
ἐχαρίσατο τὴν ὑγίειαν. Ἔφη γὰρ εὐθὺς ὁ Ναχὼρ πρὸς αὐτόν·
he-granted the health said for at-once — Nachor to him
«Σὺ μὲν, ὦ εὐγενέστατε τὴν ψυχὴν μᾶλλον ἢ τὸ σῶμα,
you indeed O most-noble in-the soul rather than the body
καλῶς μεμυημένος τὰ θαυμαστὰ μυστήρια ταῦτα, μένοις
well initiated(-into) the wonderful mysteries these may-you-remain
ἐν τῇ καλῇ ὁμολογίᾳ μέχρι τέλους, καὶ μηδεὶς ταύτην χρόνος
in the good confession until (the)-end and may-no this time
ἢ τρόπος τῆς σῆς ἐκτέμοι καρδίας· ἐγὼ δὲ πορεύσομαι
or manner from-the your cut-out heart I and will-go
ἐξ αὐτῆς τὴν ἐμὴν ζητῶν σωτηρίαν, καὶ διὰ μετανοίας
from the-very(-hour) the my seeking salvation and through repentance
τὸν Θεὸν ἐξιλεωσόμενος ὃν παρώργισα. Οὐκ ἔτι γὰρ τὸ
— God to-propitiate whom I-provoked no longer for the
τοῦ βασιλέως ὄψομαι πρόσωπον, εἰ σὺ μόνον θελήσειας.»
of-the king I-will-see face if you only would-wish
Περιχαρὴς δὲ γενόμενος ὁ τοῦ βασιλέως υἱὸς καὶ ἀσμένως
overjoyed and having-become the of-the king son and gladly
τὸν λόγον δεξάμενος, περιλαβὼν αὐτὸν καταφιλεῖ, καὶ,
the word having-received having-embraced him kisses(-him) and
ἐκτενῶς πρὸς τὸν Θεὸν εὐξάμενος, ἐκπέμπει τοῦ παλατίου.
earnestly to — God having-prayed sends(-him)-out from-the palace
Ἐξελθὼν δὲ ὁ Ναχὼρ κατανενυγμένος τὴν ψυχὴν, ἐπὶ τὴν
having-gone-out and — Nachor pierced in-the soul into the
βαθυτάτην ἅλλεται ὡς ἔλαφος ἔρημον, καὶ μοναχοῦ τινος,
deepest leaps as (a)-deer desert and of-(a)-monk some

ἱερωσύνης περικειμένου ἀξίαν, καταλαμβάνει σπήλαιον,
of-the-priesthood invested-with (the)-dignity reaches (the)-cave
ἔνθα ἐκέκρυπτο ἐκεῖνος διὰ τὸν ἐπικείμενον φόβον. Τούτῳ
where had-hidden he because-of the impending fear to-this-one
δὲ θερμότατα προσπίπτει, πλύνει τοὺς πόδας δάκρυσι, τήν
and most-warmly he-falls-down he-washes the feet with-tears the
ποτε μιμούμενος πόρνην, καὶ τὸ θεῖον ἐξαιτεῖται βάπτισμα.
once imitating harlot and the divine he-begs baptism
Ὁ τοίνυν ἱερεὺς, θείας ὢν χάριτος πεπληρωμένος, ἥσθη
the therefore priest of-divine being grace filled was-pleased
τε λίαν, καὶ, παραχρῆμα, ὥσπερ ἔθος, κατηχήσας
both greatly and at-once as (is)-custom having-catechized
αὐτὸν, δι᾽ ἡμερῶν οὐκ ὀλίγων τελειοῖ τῷ βαπτίσματι
him through days not few he-perfects with-the baptism
εἰς ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου
into (the)-name of-the Father and of-the Son and of-the holy
Πνεύματος. Ἔμεινε δὲ Ναχὼρ μετ᾽ αὐτοῦ μετανοῶν
Spirit remained and Nachor with him repenting
ἀεὶ ἐφ᾽ οἷς ἥμαρτε, καὶ εὐλογῶν τὸν Θεὸν τὸν μὴ
always for what he-sinned and blessing — God the(-one) not
βουλόμενον ἀπολέσθαι τινὰ, ἀλλὰ πάντων τὴν ἐπιστροφὴν
wishing to-perish anyone but of-all the turning
ἐκδεχόμενον καὶ μετανοοῦντας φιλανθρώπως δεχόμενον.
awaiting and (those)-repenting lovingly receiving
Ἕωθεν δὲ μαθὼν τὰ κατὰ τὸν Ναχὼρ ὁ βασιλεὺς,
at-dawn and having-learned the(-things) about — Nachor the king
καὶ ἀπογνοὺς ἧς εἶχεν ἐλπίδος ἐπ᾽ αὐτῷ, ἰδὼν δὲ
and having-despaired-of which he-had hope in him having-seen and
καὶ τοὺς σοφοὺς αὐτοῦ καὶ παράφρονας ῥήτορας οὕτως
also the wise his and deranged orators so
ἀνὰ κράτος ἡττηθέντας, ἐν ἀμηχανίᾳ ἦν. Καὶ ἐκείνους μὲν
with all-might defeated in helplessness was and those indeed

ὕβρεσι δειναῖς καὶ ἀτιμίαις βαλὼν, οὓς δὲ καὶ βουνεύροις
with-insults terrible and dishonors having-struck others and also with-ox-hide-whips
σφοδρῶς μαστιγώσας καὶ ἀσβόλῃ τὰς ὄψεις περιχρίσας,
violently having-flogged and with-soot the faces having-smeared
ἐξέβαλε τοῦ ἰδίου προσώπου· αὐτὸς δὲ καταγινώσκειν
he-cast-out from-the own face he and to-condemn
ἤρξατο τῆς τῶν ψευδωνύμων θεῶν ἀσθενείας, εἰ καὶ μὴ
began the of-the falsely-named gods weakness if even not
τελείως τῷ φωτὶ Χριστοῦ προσβλέψαι τέως ἠθέλησε. Τὸ
perfectly to-the light of-Christ to-look as-yet he-wished the
γὰρ τῆς περικειμένης αὐτῷ ἀχλύος παχὺ νέφος κατεῖχεν
for of-the lying-around him mist thick cloud held
ἔτι τὰς ὁράσεις αὐτοῦ τῆς καρδίας. Ἀλλ' οὖν οὐκ ἔτι τοὺς
still the sights his of-the heart but then no longer the
νεωκόρους ἐτίμα, οὔτε μὴν ἑορτὰς ἦγε καὶ σπονδὰς
temple-wardens he-honored nor indeed feasts he-did-keep and libations
ἐπετέλει τοῖς εἰδώλοις· ἀλλὰ σαλευομένην εἶχε τὴν διάνοιαν
performed to-the idols but shaken he-had the mind
ἀμφοτέρωθεν, ἔνθεν μὲν τῆς ἀσθενείας καταγινώσκων
on-both-sides on-this-side indeed the weakness condemning
τῶν θεῶν αὐτοῦ, ἐκεῖθεν δὲ τὴν ἀκρίβειαν δεδοικὼς τῆς
of-the gods his on-that-side and the strictness fearing of-the
εὐαγγελικῆς πολιτείας καὶ δυσαποσπάστως τῶν πονηρῶν
gospel way-of-life and inseparably from-the evil
ἔχων ἐθῶν. Πάνυ γὰρ ταῖς ἡδοναῖς κατεδουλοῦτο τοῦ
being customs much for to-the pleasures he-was-enslaved of-the
σώματος, καὶ ὅλος ἦν πρὸς τὰ πάθη αἰχμαλώτου δίκην
body and whole was toward the passions of-(a)-captive in-the-manner
ἀγόμενος, καὶ μεθύων, ὅ φησιν Ἡσαΐας, ἄνευ οἴνου, καὶ
led and drunk as says Isaiah without wine and
ὥσπερ ὑπὸ κημοῦ τῆς πονηρᾶς συνηθείας ἑλκόμενος.
as by (a)-muzzle of-the evil habit drawn

Οὕτως οὖν τοῦ βασιλέως δυσὶ παλαίοντος λογισμοῖς,
thus then the king with-two wrestling reasonings
ὁ εὐγενέστατος αὐτοῦ υἱὸς, καὶ τῷ ὄντι βασιλικωτάτην
the most-noble his son and in-the being most-kingly
κεκτημένος ψυχὴν, ἠρεμῶν ἦν ἐν τῷ παλατίῳ αὐτοῦ, τὸ
having soul quiet was in the palace his the
τῆς φύσεως αὐτοῦ γενναῖον κόσμιόν τε καὶ βεβηκὸς διὰ
of-the nature his nobility orderly both and steadfast through
τῶν ἔργων πᾶσι παριστῶν. Θέατρα γὰρ καὶ ἀγῶνες ἵππων
the works to-all showing spectacles for and contests of-horses
καὶ κυνηγεσίων μελέτη, καὶ πᾶσαι αἱ τῆς νεότητος κεναὶ
and of-hunts practice and all the of-the youth empty
σχολαὶ καὶ ἀπάται, τὰ τῶν ἀφρόνων ψυχῶν δελεάσματα,
pastimes and deceits the of-the foolish souls baits
παρ᾽ οὐδὲν ἐλογίζοντο αὐτῷ· ἀλλ᾽ ὅλος τῶν τοῦ Χριστοῦ
at nothing were-reckoned by-him but whole on-the — of-Christ
ἐξήρτητο ἐντολῶν, καὶ αὐτὸν ἐπόθει τρωθεὶς τὴν ψυχὴν
hung commandments and him longed-for wounded in-the soul
ἔρωτι θείῳ· αὐτὸν ἐπόθει τὸν ὄντως ποθητὸν, ὅς ἐστιν
by-love divine him longed-for the truly desirable(-one) who is
ὅλος γλυκασμὸς καὶ ἐπιθυμία, καὶ ἀκόρεστος ἔφεσις. Εἰς
whole sweetness and desire and insatiable longing into
μνήμην δὲ ἐρχόμενος τοῦ διδασκάλου Βαρλαὰμ, καὶ τὸν
memory and coming of-the teacher Barlaam and the
ἐκείνου ἐνοπτριζόμενος βίον, ἔρωτι τὴν ψυχὴν ἐθέλγετο,
his beholding life by-love in-the soul he-was-charmed
καὶ ὅπως αὐτὸν ἴδοι ἐφρόντιζεν ἐπιμελέστατα, καὶ,
and how him he-might-see cared most-diligently and
τοὺς λόγους αὐτοῦ ἐν τῇ καρδίᾳ περιφέρων ἀλήστως,
the words his in the heart carrying-about unforgettingly
οἱονεὶ ξύλον ἦν πεφυτευμένον παρὰ τοῖς ψαλμικοῖς
as-it-were (a)-tree he-was planted by the psalm's

ὕδασιν, ἀρδευόμενον ἀδιαλείπτως καὶ ὡραίους προσάγον,
waters watered unceasingly and seasonable bringing
καρποὺς τῷ Κυρίῳ. Πολλὰς γὰρ ψυχὰς τῶν τοῦ
fruits to-the Lord many for souls from-the of-the
Διαβόλου ἐῤῥύσατο ἀρκύων καὶ τῷ Χριστῷ προσήγαγε
Devil he-rescued nets and — to-Christ brought
σεσωσμένας· πολλοὶ γὰρ εἰς αὐτὸν φοιτῶντες λόγων
saved many for to him frequenting words
ἀπήλαυον σωτηρίων, ἐξ ὧν οὐκ ὀλίγοι, τὴν πλάνην
enjoyed saving of whom not few the error
φυγόντες, τῷ σωτηρίῳ προσέδραμον λόγῳ· ἄλλοι δὲ,
having-fled to-the saving ran word others and
μακρὰν τοῖς τοῦ βίου χαίρειν εἰπόντες, τὴν ἀσκητικὴν
far to-the(-things) of-the life farewell having-said the ascetic
ὑπεισῆλθον παλαίστραν. Αὐτὸς δὲ εὐχαῖς ἐσχόλαζε καὶ
entered wrestling-school he and to-prayers devoted-himself and
νηστείαις, καὶ συχνῶς ταύτην ἀνέπεμπε τὴν φωνὴν,
fastings and frequently this sent-up the voice
«Ὦ Κύριε», λέγων, «κύριέ μου καὶ βασιλεῦ, ᾧ
O Lord saying Lord my and king in-whom
ἐγὼ ἐπίστευσα, ἐφ' ὃν ἐγὼ κατέφυγον καὶ τῆς
I believed on whom I fled and from-the
πλάνης ἐῤῥύσθην, ἀπόδος μισθὸν ἄξιον τῷ θεράποντί σου
error was-rescued render (a)-wage worthy to-the servant your
Βαρλαὰμ, ἀνθ' ὧν μοι τῷ πλανηθέντι σὲ ὑπέδειξε,
Barlaam in-return-for which to-me the(-one) having-strayed you he-showed
τὴν ὁδὸν τῆς ἀληθείας καὶ τῆς ζωῆς· καὶ μὴ στερήσῃς
the road of-the truth and of-the life and not deprive
με αὖθις ἰδεῖν τὸν ἐν σώματι Ἄγγελον ἐκεῖνον, οὗ
me again to-see the in body Angel that of-whom
οὐκ ἔστιν ὁ κόσμος ἐπάξιος, καὶ σὺν αὐτῷ τελέσαι τὸ
not is the world worthy and with him to-complete the

λοιπὸν τῆς ζωῆς μου, ἵνα, κατ᾽ ἴχνος τῆς αὐτοῦ πολιτείας
rest of-the life my that by track of-the his way-of-life
περιπατήσας, εὐαρεστήσω σοι τῷ Θεῷ καὶ δεσπότῃ.»
having-walked I-may-please you — God and master
Κατ᾽ ἐκεῖνο δὲ καιροῦ πανήγυρις ἦν τῶν ψευδωνύμων
at that and time (a)-festival was of-the falsely-named
θεῶν δημοτελὴς ἐν τῇ πόλει ἐκείνῃ· ἔδει δὲ τὸν
gods public in the city that it-was-necessary and the
βασιλέα παρεῖναι τῇ ἑορτῇ καὶ θυσιῶν δαψιλείᾳ ταύτην
king to-be-present at-the feast and of-sacrifices with-abundance it
κοσμῆσαι. Ἀλλ᾽ ἐδεδίεσαν οἱ νεωκόροι, ὁρῶντες αὐτὸν
to-adorn but feared the temple-wardens seeing him
ἀμελῶς περὶ τὸ σέβας αὐτῶν καὶ χλιαρῶς διακείμενον, μή
carelessly about the worship their and lukewarmly disposed lest
ποτε ἀμελήσειε τῆς ἐν τῷ ναῷ παρουσίας, καὶ στερηθεῖεν
ever he-neglect the in the temple presence and be-deprived
αὐτοὶ τῆς διδομένης αὐτοῖς βασιλικῆς δωρεᾶς καὶ τῶν
they of-the given to-them royal gift and of-the
λοιπῶν προσόδων. Ἀναστάντες οὖν καταλαμβάνουσιν
other revenues having-arisen then they-reach
ἄντρον ἐν βαθυτάτῃ διακείμενον τῇ ἐρήμῳ, ἔνθα κατῴκει
(a)-cave in deepest lying the desert where dwelt
ἀνήρ τις μαγικαῖς σχολάζων τέχναις, καὶ τῆς εἰδωλικῆς
(a)-man some to-magic devoted arts and of-the idolatrous
πλάνης θερμότατος ὑπάρχων προασπιστής· Θευδᾶς ὄνομα
error most-ardent being champion Theudas (the)-name
αὐτῷ· ὃν καὶ ὁ βασιλεὺς ἐτίμα διαφερόντως, καὶ φίλον
to-him whom also the king honored especially and friend
ἡγεῖτο καὶ διδάσκαλον, διὰ τῆς αὐτοῦ λέγων μαντείας
considered and teacher through the his saying divination
εὐθυνουμένην προκόπτειν τὴν αὐτοῦ βασιλείαν. Ὡς εἰς αὐτὸν
guided to-prosper the his kingdom when to him

τοίνυν οἱ μὴ ἱερεῖς τῶν εἰδώλων ἀφικόμενοι, τοῦτον εἰς
therefore the not priests of-the idols having-come him for
βοήθειαν προσεκαλοῦντο, καὶ τὴν ἐγγινομένην τῷ βασιλεῖ
help summoned and the arising in-the king
τῶν θεῶν κατάγνωσιν δήλην ἐποίουν, οἷά τε ὁ τοῦ
of-the gods condemnation clear made what-sort both the of-the
βασιλέως πεποιήκει υἱὸς, οἷα δὲ κατ᾽ αὐτῶν ὁ Ναχὼρ
king had-done son what-sort and against them — Nachor
δεδημηγορήκει. Καὶ ὡς «Εἰ μὴ αὐτός», φησίν, «ἐλεύσῃ
had-harangued and that if not yourself he-says you-will-come
βοηθήσων ἡμῖν, πᾶσα ἐξέλιπεν ἐλπὶς, πάντα ἀπόλωλε τὰ
to-help us all has-failed hope all has-perished the
τῶν θεῶν σεβάσματα· σὺ γὰρ μόνος ἡμῖν ὑπελείφθης τῆς
of-the gods worships you for alone to-us were-left of-the
συμφορᾶς παραμύθιον, καὶ ἐπὶ σοὶ τὰς ἐλπίδας ἐθέμεθα.»
misfortune consolation and on you the hopes we-have-set

IX · THEUDAS' COUNSEL

Theudas comes with a host of evil spirits and promises to scatter the Galileans' arguments like leaves. With the demons' help the king forgets his doubts and holds a magnificent festival. Then Theudas offers an art no one can withstand: surround the son with beautiful women. He tells of a prince kept in a cave for twelve years, who, shown the world at last and told that women were demons, loved those demons most of all he saw.

Ἐκστρατεύει τοίνυν ὁ Θευδᾶς μετὰ τῆς συμπαρούσης αὐτῷ
marches-out therefore — Theudas with the accompanying him
σατανικῆς στρατιᾶς, καὶ κατὰ τῆς ἀληθείας ὁπλίζεται,
satanic host and against the truth arms-himself
πολλὰ τῶν πονηρῶν Πνευμάτων καλέσας, ἃ πρὸς τὰ
many of-the evil Spirits having-called which for the

φαῦλα συνεργεῖν οἶδε προθύμως, καὶ οἷς ἐκεῖνος ἀεὶ
base(-things) to-work-with knows eagerly and whom he always
διακόνοις ἐχρῆτο· μεθ᾽ ὧν παραγίνεται πρὸς τὸν βασιλέα.
(as)-ministers used with whom he-arrives at the king
Ὡς δὲ ἐμηνύθη τῷ βασιλεῖ ἡ ἄφιξις αὐτοῦ, καὶ εἰσῆλθε,
when and was-announced to-the king the arrival his and he-came-in
ῥάβδον μὲν κατέχων βαΐνην, μηλωτάριον δὲ περιεζωσμένος,
(a)-staff indeed holding of-palm (a)-sheepskin and girded
ἀνέστη ὁ βασιλεὺς τοῦ θρόνου, καὶ τοῦτον προσυπαντήσας
rose the king from-the throne and him having-gone-to-meet
ἠσπάσατο, καὶ, θρόνον ἐνεγκὼν, πλησίον αὐτοῦ συνεδριάζειν
greeted and (a)-throne having-brought near him to-sit-with(-him)
πεποίηκεν. Εἶτα λέγει Θευδᾶς τῷ βασιλεῖ· «Βασιλεῦ,
made then says Theudas to-the king O-king
εἰς τοὺς αἰῶνας ζῇθι, τῇ τῶν μεγίστων θεῶν εὐμενείᾳ
for the ages live by-the of-the greatest gods favor
σκεπόμενος. Ἤκουσα γὰρ ἀγῶνά σε μέγαν ἀγωνίσασθαι
sheltered I-heard for (a)-contest you great to-have-contended
κατὰ τῶν Γαλιλαίων καὶ λαμπροτάτοις διαδήμασι νίκης
against the Galileans and with-most-splendid diadems of-victory
καταστεφθῆναι. Διὸ ἐλήλυθα, ἵνα εὐχαριστήριον ἑορτὴν
to-have-been-crowned wherefore I-have-come that (a)-thanksgiving feast
ὁμοῦ τελέσωμεν, νεανίσκους τε ὡραίους καὶ κόρας
together we-may-hold youths both comely and maidens
εὐόπτους τοῖς ἀθανάτοις θεοῖς καταθύσωμεν, ταύρους τε
fair to-the immortal gods we-may-sacrifice bulls both
ἑκατὸν καὶ ζῶα τούτοις πλεῖστα προσενέγκωμεν, ὡς ἂν
(a)-hundred and animals to-these very-many we-may-offer so-that —
ἔχοιμεν αὐτοὺς καὶ εἰς τὸ ἑξῆς συμμάχους ἀηττήτους,
we-might-have them also for the following allies unconquered
ὅλον ἡμῖν τὸν βίον ἐξομαλίζοντας.»
whole for-us the life smoothing

Πρὸς ταῦτα ὁ βασιλεύς «Οὐ νενικήκαμεν», ἔφη, «ὦ
to these(-things) the king not we-have-conquered said O
πρεσβύτα· οὐ νενικήκαμεν, ἀλλ' ἀνὰ κράτος μᾶλλον
old-man not we-have-conquered but with all-might rather
ἡττήμεθα. Οἱ γὰρ ὑπὲρ ἡμῶν καθ' ἡμῶν ἐξαίφνης
we-have-been-defeated those for for us against us suddenly
γεγόνασι. Παράβακχόν τε καὶ μανικὴν καὶ ἀσθενῆ τὴν
have-become frenzied both and mad and weak the
ἡμετέραν εὑρόντες παράταξιν, τέλεον ταύτην κατέβαλον.
our having-found battle-line completely it they-cast-down
Νυνὶ δὲ, εἴ τίς σοι δύναμις πρόσεστι καὶ ἰσχὺς εἰς τὸ
now and if any to-you power belongs and strength for the
βοηθῆσαι τῇ κάτω κειμένῃ θρησκείᾳ ἡμῶν καὶ ταύτην
to-help the down lying religion our and it
αὖθις ἀνορθῶσαι, ἀνάγγειλόν μοι.»
again to-set-upright announce to-me
Ὁ δὲ Θευδᾶς τοιαύτας ἐδίδου τὰς ἀποκρίσεις τῷ βασιλεῖ·
— and Theudas such gave the answers to-the king
«Τὰς μὲν τῶν Γαλιλαίων ἐνστάσεις καὶ ματαιολογίας
the indeed of-the Galileans objections and vain-talk
μὴ φοβοῦ, βασιλεῦ· τίνα γάρ εἰσι τὰ παρ' αὐτῶν
not fear O-king what for are the(-things) by them
λεγόμενα πρὸς ἄνδρας λογικοὺς καὶ ἐχέφρονας; ἅτινα,
said against men rational and sensible which
ἐμοὶ δόξαν, ῥᾳδίως καταβληθήσεται μᾶλλον ἢ
to-me having-seemed(-good) easily will-be-cast-down rather than
φύλλον ἀνέμῳ κατασεισθέν. Οὐδὲ γὰρ κατὰ πρόσωπόν
(a)-leaf by-wind shaken not-even for to face
μου ἐλθεῖν ὑπομενοῦσι, μὴ ὅτι γε καὶ λόγον συνᾶραι
my to-come they-will-endure not that at-least also (an)-account to-settle
καὶ εἰς προτάσεις μοι καὶ ἀντιθέσεις χωρῆσαι. Ἀλλ',
and into propositions with-me and antitheses to-advance but

ἵνα τοῦτό τε τὸ προκείμενον ἀγώνισμα καὶ πᾶν ὁτιοῦν
that this both the lying-before contest and every whatever
ἂν βουληθείημεν ἐπ᾽ εὐθείας ἡμῖν γένοιτο καὶ κατὰ
— we-might-wish on straight(-course) for-us may-go and with
ῥοῦν τὰ πράγματα χωρήσειε, τὴν ἑορτὴν κόσμησον
(the)-stream the affairs may-proceed the feast adorn
ταύτην τὴν δημοτελῆ, καὶ τὴν εὐμένειαν τῶν θεῶν ὥσπερ
this the public and the favor of-the gods as
τι κραταιὸν περιβαλοῦ ὅπλον· καὶ εὖ σοι γένηται.»
some mighty put-on weapon and well to-you may-it-be
Οὕτω καυχησάμενος ὁ ἐν κακίᾳ δυνατὸς εἶναι
thus having-boasted the(-one) in evil mighty to-be
ἀνομίαν τε ὅλην τὴν ἡμέραν μελετήσας (συμφθεγγέσθω
lawlessness and all the day having-practiced let-join-voice
γὰρ ἡμῖν ὁ Δαυίδ), ἀνατροπὴν δὲ θολερὰν, καθά
for with-us — David overthrow and turbid as
φησιν Ἡσαΐας τῷ πλησίον ποτίσας, συνεργίᾳ
says Isaiah to-the neighbor having-given-to-drink by-co-working
τῶν συμπαρομαρτούντων αὐτῷ πονηρῶν Πνευμάτων
of-the accompanying him evil Spirits
ἐπιλαθέσθαι τὸν βασιλέα παντάπασι τῶν πρὸς σωτηρίαν
to-forget the king altogether the toward salvation
ὑπομιμνησκόντων λογισμῶν πεποίηκε καὶ τῶν συνήθων
reminding reasonings he-made and to-the customary
πάλιν ἐπιμελῶς ἔχεσθαι. Ἔνθεν τοι καὶ γραμμάτων
again diligently to-hold hence indeed also letters
βασιλικῶν πανταχοῦ διαπεφοιτηκότων τοῦ συνελθεῖν πάντας
royal everywhere having-gone-through of-the to-assemble all
ἐν τῇ μυσαρᾷ πανηγύρει αὐτῶν, ἦν ἰδεῖν συῤῥέοντα
at the foul festival their it-was(-possible) to-see flowing-together
τὰ πλήθη, πρόβατά τε καὶ βόας καὶ διάφορα γένη ζώων
the multitudes sheep both and oxen and various kinds of-animals

ἀγόμενα. Πάντων τοίνυν συνελθόντων, ἀναστὰς ὁ
led all therefore having-come-together having-arisen the
βασιλεὺς μετὰ τοῦ ἀπατεῶνος Θευδᾶ, πρὸς τὸν ναὸν ἐχώρει,
king with the deceiver Theudas to the temple went
ταύρους καταθύσαι φέρων ἑκατὸν εἴκοσι καὶ ζῶα πολλά.
bulls to-sacrifice bringing hundred twenty and animals many
Καὶ ἐτέλουν τὴν ἐπάρατον αὐτῶν ἑορτὴν, ὡς περιηχεῖσθαι
and they-held the accursed their feast so-as to-resound
μὲν τὴν πόλιν ὑπὸ τῆς τῶν ἀλόγων ζώων φωνῆς, τῇ
indeed the city with the of-the irrational animals voice by-the
δὲ τῶν θυσιῶν κνίσσῃ καὶ αὐτὸν μολύνεσθαι τὸν ἀέρα.
and of-the sacrifices savor even itself to-be-defiled the air
Τούτων οὕτω τελεσθέντων, καὶ τῶν τῆς πονηρίας
these(-things) thus having-been-completed and the of-the wickedness
Πνευμάτων λίαν ἐγκαυχησαμένων ἐπὶ τῇ νίκῃ τοῦ Θευδᾶ,
Spirits very having-boasted at the victory — of-Theudas
καὶ χάριτας αὐτῷ ὁμολογησάντων τῶν νεωκόρων, εἰς τὸ
and thanks to-him having-acknowledged the temple-wardens to the
παλάτιον αὖθις ἐπανῆκεν ὁ βασιλεύς. Καὶ φησὶ τῷ Θευδᾷ·
palace again returned the king and says — to-Theudas
«Ἰδοὺ δὴ, καθὰ ἐκέλευσας, οὐδεμίαν ἐνελίπομεν σπουδὴν
behold indeed as you-commanded no we-left-out zeal
ἐπὶ τῇ λαμπροφορίᾳ τῆς πανηγύρεως καὶ δαψιλείᾳ τῶν
for the splendor of-the festival and abundance of-the
θυσιῶν. Καιρὸς οὖν ἤδη τὰ ἐπηγγελμένα πληρῶσαι· καὶ
sacrifices (the)-time then now the promised(-things) to-fulfill and
τὸν ἀποστατήσαντα τῶν ἡμετέρων σεβασμάτων υἱόν μου
the having-revolted from-the our objects-of-worship son my
τῆς πλάνης ἀναῤῥύσασθαι τῶν χριστιανῶν, καὶ τοῖς
from-the error to-rescue of-the Christians and to-the
εὐμενέσι καταλλάξαι θεοῖς. Ἐγὼ γὰρ τέχνην πᾶσαν καὶ
gracious to-reconcile gods I for art every and

χεῖρα κινήσας, οὐδεμίαν εὗρον τοῦ κακοῦ θεραπείαν· ἀλλὰ
hand having-moved no found of-the evil cure but
πάντων κρείττονα τὴν αὐτοῦ γνώμην ἐθεασάμην. Εἰ πράως
than-all stronger the his mind I-beheld if gently
αὐτῷ ἐνέτυχον καὶ ἠπίως, οὐδὲ τὸν νοῦν μοι προσέχοντα
him I-met and mildly not-even the mind to-me attending
ὅλως εὕρισκον· εἰ αὐστηρῶς ἐχρησάμην καὶ ἐμβριθῶς,
at-all I-found(-him) if harshly I-dealt and severely
εἰς ἀπόνοιαν μᾶλλον αἰρόμενον ἐθεώρουν. Τῇ σῇ λοιπὸν
into madness rather being-carried I-saw(-him) to-the your henceforth
σοφίᾳ τὰ τῆς ἐπελθούσης μοι συμφορᾶς ἀνατίθημι. Εἰ
wisdom the(-things) of-the having-come-on me misfortune I-commit if
οὖν, ταύτης ἀπαλλαγεὶς διὰ σοῦ, τὸν ἐμὸν αὖθις ὄψομαι
then from-this freed through you the my again I-shall-see
υἱὸν σὺν ἐμοὶ τοῖς θεοῖς μου λατρεύοντα καὶ τῶν ἐπιθυμιῶν
son with me the gods my serving and of-the desires
τῆς ἐνηδόνου ζωῆς ταύτης καὶ βασιλείας ἀπολαύοντα,
of-the pleasurable life this and kingdom enjoying
στήλην σοι ἀνεγείρας χρυσῆν, ἴσα θεοῖς θήσομαι παρὰ
(a)-statue to-you having-raised golden equal to-gods I-will-make by
πάντων τιμᾶσθαι εἰς τὸν ἐπιόντα ἀτελεύτητον χρόνον.»
all to-be-honored for the coming endless time
Ὁ Θευδᾶς τοίνυν οὖς εὐήκοον ὑποκλίνας τῷ Πονηρῷ,
— Theudas therefore (an)-ear obedient having-inclined to-the Evil-one
καὶ παρ' ἐκείνου μυηθεὶς βουλὴν πονηρὰν καὶ
and from him having-been-initiated-into counsel evil and
ὀλέθριον, γλῶσσά τε καὶ στόμα αὐτῷ γενόμενος, φησὶ
destructive tongue both and mouth to-him having-become says
πρὸς τὸν βασιλέα· «Εἰ χειρώσασθαι τὸν σὸν βούλει υἱόν,
to the king if to-subdue the your you-wish son
καὶ κενὴν αὐτῷ τὴν ἔνστασιν θεῖναι, εὕρηταί μοι τέχνη
and empty for-him the resistance to-make has-been-found by-me (an)-art

πρὸς ἣν οὐδὲ ἀντέχειν δυνατὸς ἔσται, ἀλλὰ ῥᾷον
against which not-even to-hold-out able he-will-be but more-easily
μαλαχθήσεται ὁ ἀτεράμων καὶ ἀμείλικτος αὐτοῦ λογισμὸς
will-be-softened the hard and implacable his reasoning
ἢ κηρὸς πυρκαϊᾷ σφοδροτάτῃ ὁμιλήσας.»
than wax with-(a)-blaze most-violent having-consorted
Ὁ δὲ βασιλεὺς, τὸν μάταιον οὕτω διακενῆς φυσῶντα
the and king the vain(-one) thus emptily puffing
ἰδὼν, πρὸς ἡδονὴν εὐθὺς καὶ φαιδρότητα μετεβάλλετο,
having-seen to pleasure at-once and brightness changed
ἐλπίσας τὴν ἀκόλαστον ἐκείνην καὶ θρασεῖαν γλῶσσαν τῆς
having-hoped the unbridled that and bold tongue of-the
θεοδιδάκτου καὶ φιλοσοφίας γεμούσης περιγενέσθαι ψυχῆς.
God-taught and with-philosophy filled to-overcome soul
Καὶ τίς ἡ τέχνη μαθεῖν ἤρετο. Τότε Θευδᾶς ὡσεὶ ξυρὸν
and what the art to-learn he-asked then Theudas as (a)-razor
ἠκονημένον ὑφαίνει τὸ κακούργημα καὶ δεινῶς ἀρτύει τὰ
sharpened weaves the evil-deed and terribly prepares the
φάρμακα. Καὶ ὅρα σόφισμα κακότεχνον καὶ ὑποβολὴν τοῦ
poisons and see (a)-sophistry ill-contrived and suggestion of-the
Πονηροῦ. «Πάντας» φησίν, «ὦ βασιλεῦ, τοὺς παρισταμένους
Evil-one all he-says O king those standing-by
τῷ υἱῷ σου καὶ ὑπηρετοῦντας μακρύνας ἀπ᾽ αὐτοῦ, γυναῖκας
the son your and serving having-removed from him women
εὐειδεῖς καὶ λίαν περικαλλεῖς, καὶ κεκοσμημένας εἰς τὸ
comely and very beautiful and adorned for the
ἐπαγωγότερον, συνεῖναι αὐτῷ διηνεκῶς καὶ καθυπηρετεῖν,
more-enticing to-be-with him continually and to-serve
συνδιαιτᾶσθαί τε καὶ συναυλίζεσθαι, πρόσταξον. Ἐγὼ δὲ,
to-live-with both and to-dwell-with order I and
τῶν Πνευμάτων ἓν τῶν εἰς τὰ τοιαῦτά μοι τεταγμένων
of-the Spirits one of-those for the such-things to-me appointed

ἐπαποστείλας αὐτῷ, βιαιότερον τὸ τῆς ἡδονῆς πῦρ ἀνάψω.
having-sent-against him more-violently the of-the pleasure fire will-kindle
Καὶ ἅμα τῷ συγγενέσθαι αὐτὸν μιᾷ καὶ μόνῃ τῶν
and at-once with-the to-have-intercourse him with-one and only of-the
τοιούτων γυναικῶν, εἰ μὴ πάντα ἕξει σοι κατὰ γνώμην,
such women if not all will-be to-you according-to mind
παροπτέος ἐγὼ τὸ λοιπόν σοι καὶ ἄχρηστος, καὶ τιμωριῶν
to-be-overlooked I for-the rest to-you and useless and of-punishments
μεγίστων, οὐ τιμῶν, ἄξιος. Οὐδὲν γὰρ ὡς ὄψις γυναικῶν
greatest not of-honors worthy nothing for as (the)-sight of-women
ἐπάγεσθαι καὶ θέλγειν τοὺς ἀῤῥένων λογισμοὺς πέφυκε.
to-attract and to-charm the of-males reasonings is-wont
Καὶ ἄκουσον διηγήσεως τῷ ἐμῷ συμμαρτυρούσης ῥήματι.»
and hear (a)-narrative to-the my bearing-witness word
«Βασιλεύς τις παιδὸς ἀμοιρῶν ἄῤῥενος ἠνιᾶτο, λίαν
(a)-king some of-(a)-son having-no-share male was-grieved very
τὴν ψυχὴν ἀχθόμενος, καὶ ἀτύχημα τοῦτο οὐ μικρὸν
in-the soul being-vexed and misfortune this not small
λογιζόμενος. Ἐν τούτοις οὖν αὐτῷ ὄντι γεννᾶται υἱός· καὶ
reckoning in these then him being is-born (a)-son and
χαρᾶς ἐπὶ τούτῳ τὴν καρδίαν ἐπεπλήρωτο ὁ βασιλεύς.
with-joy at this the heart was-filled the king
Εἶπον δὲ αὐτῷ οἱ τῶν ἰατρῶν ἐπιστήμονες, ὡς, εἰ ἐντὸς
said and to-him the of-the physicians skilled(-ones) that if within
τῶν δώδεκα χρόνων ἥλιον ἢ πῦρ τὸ παιδίον τοῦτο ἴδοι,
the twelve years sun or fire the child this should-see
στερηθήσεται παντάπασι τοῦ φωτός· «τοῦτο γὰρ ἡ
it-will-be-deprived altogether of-the light this for the
δούλους εἰργάσατο τοῦ ἐξαγοράσαντος ἡμᾶς τῆς πονηρᾶς
slaves he-had-made of-the having-redeemed us from-the evil
δουλείας τῷ τιμίῳ αὐτοῦ αἵματι, δεύτερον ἐννοεῖ ἔργον,
slavery by-the precious his blood (a)-second he-considers work
τὴν τῆς εὐποΐας ἀρετήν. Σωφροσύνη γὰρ καὶ δικαιοσύνη ἤδη
the of-the beneficence virtue self-control for and justice already
προκατώρθωτο αὐτῷ, ὡς τὸν στέφανον τῆς σωφροσύνης
had-been-achieved by-him as the crown of-the self-control

ἀναδησαμένῳ καὶ τὴν πορφύραν τῆς δικαιοσύνης
having-bound-on and the purple of-the justice
ἀμφιασαμένῳ. Ἐνενόει οὖν τοῦ ἐπιγείου πλούτου τὸ ἄστατον
having-put-on he-considered then of-the earthly wealth the instability
ποταμίων ὑδάτων μιμεῖσθαι τὸν δρόμον. Ἐκεῖ τοίνυν ἔσπευδε
of-river waters to-imitate the course there then he-hastened
τοῦτον ἀποθέσθαι, ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει,
this to-lay-up where neither moth nor rust destroys
καὶ ὅπου κλέπται οὐ διορύσσουσιν οὐδὲ κλέπτουσι. Καὶ δὴ
and where thieves not dig-through nor steal and indeed
ἤρξατο πάντα τοῖς πένησι διανέμειν τὰ χρήματα, μηδόλως
he-began all to-the poor to-distribute the moneys not-at-all
αὐτῶν φειδόμενος. Ἤδει γὰρ ὡς ὁ μεγάλης ἐξουσίας
them sparing he-knew for that the(-one) great authority
ἐπιλαβόμενος τὸν δοτῆρα τῆς ἐξουσίας ὀφείλει μιμεῖσθαι
having-obtained the giver of-the authority ought to-imitate
κατὰ δύναμιν, ἐν τούτῳ δὲ μάλιστα τὸν Θεὸν μιμήσεται,
according-to power in this and most-of-all — God he-will-imitate
ἐν τῷ μηδὲν ἡγεῖσθαι τοῦ ἐλεεῖν προτιμότερον. Ὑπὲρ
in the nothing to-consider than-the to-show-mercy more-precious above
χρυσίον οὖν καὶ λίθον τίμιον τῆς εὐποιΐας τὸν πλοῦτον ἑαυτῷ
gold then and stone precious of-the beneficence the wealth for-himself
συναθροίζων ἦν, τὸν καὶ ὧδε κατευφραίνοντα τῇ ἐλπίδι
gathering he-was the(-one) also here gladdening with-the hope
τῆς μελλούσης ἀπολαύσεως, κἀκεῖ καταγλυκαίνοντα τῇ
of-the coming enjoyment and-there sweetening with-the
πείρᾳ τῆς ἐλπισθείσης μακαριότητος. Ἐντεῦθεν ἠρευνῶντο
experience of-the hoped-for blessedness hence were-searched-out
αὐτῷ φυλακαὶ, οἱ ἐν μετάλλοις κατακεκλεισμένοι, οἱ
by-him prisons those in mines shut-up those
ὑπὸ δανειστῶν συμπνιγόμενοι· καὶ, πᾶσιν ἀφθόνως
by creditors choked and to-all ungrudgingly

ἐπιχορηγῶν πάντα, πατὴρ ἦν ἁπάντων τῶν ὀρφανῶν
supplying all father he-was of-all the orphans
τε καὶ χηρῶν καὶ πενήτων, πατὴρ φιλόστοργος καὶ
both and widows and poor (a)-father affectionate and
ἀγαθὸς, ἑαυτὸν δοκῶν εὐεργετεῖν ἐκ τῆς εἰς αὐτοὺς
good himself thinking to-benefit from the to them
γενομένης εὐεργεσίας. Πλουσιόδωρος γὰρ ὢν τὴν ψυχὴν
having-come benefaction richly-giving for being in-the soul
καὶ τῷ ὄντι βασιλικώτατος, πᾶσιν ἐδίδου δαψιλῶς τοῖς
and in-the being most-royal to-all he-gave abundantly to-those
χρήζουσιν· ἀπειροπλασίους γὰρ ἤλπιζεν ὑπὲρ τούτων
needing countless-fold for he-hoped for these
ἀμοιβὰς κομίσασθαι, ὅταν ἔλθῃ ὁ καιρὸς τῆς τῶν ἔργων
returns to-receive when comes the time of-the of-the works
ἀνταποδόσεως.
recompense

Ioasaph's fame spreads, and his father's subjects come over to him, so that his house grows as David's did while Abenner's dwindles like Saul's. Abenner, condemning his gods at last, writes to his son: he has seen that the Christians' faith is true, but despairs because of the Christians he killed. Ioasaph falls on his face before the image of the Master, gives thanks that the hard rock of his father's heart has softened, and prays for words to free him from the Devil. He goes to his father, who meets him with joy, and in private he teaches him the faith, from creation, Paradise, and the fall to the incarnation, the second coming, the kingdom, and the punishment of sinners.

Πανταχοῦ δὲ τῆς τοιαύτης αὐτοῦ φήμης ἐν ὀλίγῳ
everywhere and of-the such his report in little(-time)
διαβαινούσης, πάντες πρὸς αὐτὸν, ὥσπερ ὑπό τινος ὀσμῆς
spreading all to him as-if by some scent
μύρου κεκινημένοι, καθ' ἑκάστην συνέῤῥεον, σωμάτων τε
of-perfume moved by each(-day) flowed-together of-bodies both
ὁμοῦ καὶ ψυχῶν πενίαν ἀποτιθέμενοι, καὶ ἐν τοῖς ἁπάντων
together and of-souls poverty putting-off and in the of-all
στόμασιν ἦν. Οὐχ ὁ φόβος γὰρ καὶ ἡ τυραννὶς εἵλκε
mouths he-was not the fear for and the tyranny drew
τὸν λαὸν, ἀλλ' ὁ πόθος καὶ ἡ πρὸς αὐτὸν ἐκ καρδίας
the people but the longing and the to him from (the)-heart
ἀγάπη, ἥτις ἐκ Θεοῦ καὶ τῆς αὐτοῦ καλλίστης πολιτείας
love which from God and of-the his most-beautiful way-of-life
ἐνεφυτεύθη ταῖς πάντων ψυχαῖς.
was-implanted in-the of-all souls
Τότε δὴ τότε καὶ οἱ τῷ πατρὶ αὐτοῦ ὑποκείμενοι αὐτῷ
then indeed then also those to-the father his subject to-him
μᾶλλον προσετίθεντο, καὶ, τὴν πλάνην πᾶσαν ἀποτιθέμενοι,
more attached-themselves and the error all putting-off

τὴν ἀλήθειαν εὐηγγελίζοντο. Καὶ ὁ μὲν οἶκος τοῦ
the truth were-evangelized and the indeed house —
Ἰωάσαφ ηὔξανε καὶ ἐκραταιοῦτο, ὁ δὲ οἶκος τοῦ Ἀβεννὴρ
of-Ioasaph grew and grew-strong the and house — of-Abenner
ἠλαττονοῦτο καὶ ἠσθένει, καθάπερ δὴ περὶ τοῦ Δαυὶδ
was-diminished and grew-weak as indeed about — David
καὶ τοῦ Σαοὺλ ἡ τῶν Βασιλειῶν διαγορεύει βίβλος.
and — Saul the of-the Kingdoms declares book
Ταῦτα ὁρῶν ὁ βασιλεὺς Ἀβεννὴρ, ὀψὲ καὶ μόλις εἰς
these(-things) seeing the king Abenner late and hardly into
συναίσθησιν ἐλθὼν, τῶν ἑαυτοῦ κατεγίνωσκε ψευδωνύμων
awareness having-come of-the his-own he-condemned falsely-named
θεῶν τῆς ἀσθενείας καὶ κενῆς ἀπάτης. Καὶ, ἐκκλησιάσας
gods the weakness and empty deceit and having-assembled
αὖθις τοὺς πρώτους τῆς βουλῆς, τὰ μελετώμενα
again the first of-the council the(-things) pondered
αὐτῷ εἰς φῶς ἐξῆγε. Πάντων δὲ τὰ αὐτὰ βεβαιούντων
by-him into light he-brought-out all and the same confirming
(«ἐπεσκέψατο γὰρ αὐτοὺς ἀνατολὴ ἐξ ὕψους», ὁ Σωτὴρ
visited for them (the)-dayspring from on-high the Savior
τῆς δεήσεως ἀκούσας τοῦ θεράποντος αὐτοῦ Ἰωάσαφ),
the prayer having-heard of-the servant his Ioasaph
ἔδοξε τῷ βασιλεῖ δῆλα ταῦτα τῷ υἱῷ ποιῆσαι. Γράφει
it-seemed-good to-the king clear these(-things) to-the son to-make he-writes
οὖν τῇ ἑξῆς ἐπιστολὴν τῷ Ἰωάσαφ, περιέχουσαν οὕτως·
then on-the next(-day) (a)-letter — to-Ioasaph containing thus
«Βασιλεὺς Ἀβεννὴρ τῷ ποθεινοτάτῳ υἱῷ Ἰωάσαφ, χαίρειν.»
king Abenner to-the most-longed-for son Ioasaph greeting
«Λογισμοὶ πολλοὶ, εἰς τὴν ἐμὴν ὑπεισερχόμενοι ψυχὴν,
thoughts many into the my creeping-in soul
δεινῶς, φίλτατε, τυραννοῦσιν, υἱέ. Τὰ γὰρ ἡμέτερα πάντα
terribly dearest tyrannize son the for our all

ἐκλείποντα ὁρῶν, ὃν τρόπον καπνὸς ἐκλείπει, τὰ
failing seeing in-which way smoke fails the(-things)
τῆς σῆς δὲ θρησκείας λάμποντα ὑπὲρ ἥλιον, εἰς αἴσθησιν
of-the your and religion shining above (the)-sun into perception
δὲ ἐλθὼν, ἀληθῆ τὰ παρὰ σοῦ μοι ἀεὶ λεγόμενα
and having-come true the(-things) from you to-me always said
ἔγνωκα εἶναι, καὶ ὅτι σκότος ἡμᾶς βαθὺ τῶν ἁμαρτιῶν
I-have-known to-be and that darkness us deep of-the sins
καὶ τῆς ἀσεβείας ἐκάλυπτεν, ὡς ἐντεῦθεν οὐδὲ πρὸς
and of-the impiety covered so-that thence not-even to
τὴν ἀλήθειαν διαβλέψαι καὶ τὸν ἁπάντων δημιουργὸν
the truth to-see-clearly and the of-all creator
καταμαθεῖν ἠδυνάμεθα· ἀλλὰ καὶ φῶς οὕτω τηλαυγέστερον
to-understand we-were-able but even light thus more-far-shining
διὰ σοῦ ἀναδειχθὲν ἡμῖν, τοὺς ὀφθαλμοὺς μύσαντες, ἡμεῖς
through you shown-forth to-us the eyes having-closed we
ὁρᾷν οὐκ ἠθελήσαμεν, πολλὰ μέν σοι κακὰ ἐνδειξάμενοι,
to-see not we-wished many indeed to-you evils having-shown
ἐλεεινῶς δὲ φεῦ! καὶ τῶν χριστιανῶν οὐκ ὀλίγους
pitiably and alas also of-the Christians not few
ἀνελόντες, οἵτινες, τῇ συνεργούσῃ αὐτοῖς ἀμάχῳ δυνάμει
having-killed who by-the working-with them invincible power
κραταιούμενοι, διὰ τέλους πρὸς τὴν ἡμετέραν ὠμότητα
strengthened through (the)-end over the our cruelty
ὑπερέσχον. Νυνὶ δὲ, τὴν παχεῖαν ἐκείνην ἀχλὺν τῶν
prevailed now and the thick that mist of-the
ἡμετέρων ὀμμάτων περιελόντες, αὐγήν τινα μικρὰν τῆς
our eyes having-removed gleam some small of-the
ἀληθείας ὁρῶμεν, καὶ τῶν προτέρων μεταμέλεια εἰσέρχεται
truth we-see and of-the former repentance enters
κακῶν. Ἀλλὰ καὶ ταύτην τὴν αὐγὴν νέφος ἄλλο δεινῆς
evils but even this the gleam cloud other of-terrible

ἀπογνώσεως ἐπιπολάζον σκοτίζειν πειρâται, τὸ πλῆθος
despair floating-up to-darken tries the multitude
προβαλλόμενον τῶν ἐμῶν κακῶν, καὶ ὅτι βδελυκτὸς ἤδη
putting-forward of-the my evils and that abominable already
ἐγὼ τῷ Χριστῷ καὶ ἀπρόσδεκτός εἰμι, ὡς ἀποστάτης καὶ
I — to-Christ and unacceptable am as apostate and
πολέμιος αὐτοῦ γεγονώς. Τί οὖν πρὸς ταῦτα, τέκνον
enemy his having-become what then to these(-things) child
γλυκύτατον, λέγεις αὐτὸς, δῆλά μοι τάχιστα ποίησον,
sweetest do-you-say yourself clear to-me most-quickly make
καὶ τί δεῖ ποιεῖν με τὸν σὸν πατέρα δίδαξον, καὶ
and what is-needful to-do me the your father teach and
πρὸς ἐπίγνωσιν χειραγώγησον τοῦ συμφέροντος.»
to knowledge lead-by-the-hand of-the profitable
Ταύτην τὴν ἐπιστολὴν ὁ Ἰωάσαφ δεξάμενος, καὶ τὰ
this the letter — Ioasaph having-received and the(-things)
ἐμφερόμενα ἐπελθὼν, ἡδονῆς ὁμοῦ καὶ θαύματος τὴν
contained having-gone-over with-pleasure together and with-wonder the
ψυχὴν ἐπληροῦτο. Εἰς τὸ ἑαυτοῦ δὲ ταμιεῖον εἰσελθὼν
soul was-filled into the his-own and chamber having-entered
εὐθὺς, καὶ ἐπὶ πρόσωπον πεσὼν ἐνώπιον τοῦ δεσποτικοῦ
at-once and on (his)-face having-fallen before the Lord's
χαρακτῆρος, δάκρυσι τὴν γῆν κατέβρεχεν, εὐχαριστῶν ὁμοῦ
image with-tears the earth he-drenched giving-thanks together
τῷ δεσπότῃ καὶ ἐξομολογούμενος, καὶ χείλη ἀγαλλιάσεως
to-the master and confessing and lips of-exultation
κινῶν πρὸς ὑμνῳδίαν, «Ὑψώσω σε», λέγων, «ὁ Θεός
moving to hymnody I-will-exalt you saying — God
μου καὶ βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομα σου
my and king my and I-will-bless the name your
εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· μέγας
into the age and into the age of-the age great

εἶ, Κύριε, καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης
are-you Lord and praiseworthy exceedingly and of-the greatness
σου οὐκ ἔστι πέρας. Καὶ τίς λαλήσει τὰς δυναστείας
your not is limit and who will-speak the mighty-acts
σου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις σοῦ, τοῦ
your audible will-make all the praises your of-the
στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων καὶ τὴν
having-turned the rock into pools of-waters and the
ἀκρότομον εἰς πηγὰς ὑδάτων»; Ἰδοὺ γὰρ ἡ ἀκρότομος
sheer(-rock) into springs of-waters behold for the sheer(-rock)
αὕτη καὶ πέτρας σκληροτέρα καρδία τοῦ ἐμοῦ πατρὸς,
this and than-rock harder heart of-the my father
σοῦ θελήσαντος, ὡσεὶ κηρὸς ἐμαλάχθη. Δυνατὸν γάρ σοι
you having-willed like wax was-softened possible for for-you
καὶ «ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ».
even from the stones these to-raise-up children — to-Abraham
Εὐχαριστῶ σοι, δέσποτα φιλάνθρωπε, θεὲ τοῦ ἐλέους,
I-thank you master loving-mankind God of-the mercy
ὅτι ἐμακροθύμησας καὶ μακροθυμεῖς τοῖς παραπτώμασιν
that you-have-been-long-suffering and are-long-suffering to-the trespasses
ἡμῶν, καὶ ἕως τοῦ νῦν ἀτιμωρήτους ἡμᾶς εἴασας εἶναι.
our and until the now unpunished us you-allowed to-be
Ἡμεῖς μὲν γὰρ ἄξιοι ἦμεν πάλαι ἀποῤῥιφῆναι ἀπὸ τοῦ
we indeed for worthy were long-ago to-be-cast-away from the
προσώπου σου καὶ παραδειγματισθῆναι ἐν τῷ βίῳ τούτῳ,
face your and to-be-made-an-example in the life this
ὡς οἱ τὴν Πεντάπολιν οἰκοῦντες παράνομοι, πυρὶ καὶ
as the — Pentapolis inhabiting lawless(-ones) by-fire and
θείῳ καταχυθέντες· ἡ δὲ ἀνείκαστός σου μακροθυμία
sulfur deluged the and incomparable your long-suffering
ἐφιλανθρωπεύσατο εἰς ἡμᾶς. Εὐχαριστῶ σοι ὁ εὐτελὴς
dealt-kindly toward us I-thank you the cheap

ἐγὼ καὶ ἀνάξιος, εἰ καὶ μὴ ὑπάρχω αὐτάρκης πρὸς
I and unworthy if even not I-am sufficient for
δοξολογίαν τῆς σῆς ἀγαθότητος. Καὶ δέομαι τῶν ἀμετρήτων
glorification of-the your goodness and I-beseech the immeasurable
σου οἰκτιρμῶν, κύριε Ἰησοῦ Χριστὲ, υἱὲ καὶ Λόγε τοῦ
your compassions Lord Jesus Christ son and Word of-the
ἀοράτου Πατρὸς, ὁ πάντα λόγῳ παραγαγὼν καὶ
invisible Father the(-one) all by-word having-brought-forth and
θελήματι τῷ σῷ συνέχων, ὁ ῥυσάμενος ἡμᾶς τοὺς
by-will the your holding-together the(-one) having-rescued us the
ἀναξίους δούλους σου τῆς τοῦ ἀρχεκάκου ἐχθροῦ δουλείας,
unworthy servants your from-the of-the author-of-evil enemy slavery
ὁ ταθεὶς ἐπὶ ξύλου καὶ δήσας τὸν ἰσχυρὸν, καὶ
the(-one) stretched on (the)-wood and having-bound the strong(-one) and
τοῖς ὑπ' ἐκείνου δεθεῖσιν αἰώνιον ἐπιβραβεύσας ἐλευθερίαν·
to-those by him bound eternal having-awarded freedom
αὐτὸς καὶ τὰ νῦν ἔκτεινόν σου τὴν ἀόρατον χεῖρα καὶ
yourself and the(-things) now stretch-out your the invisible hand and
παντουργὸν, καὶ εἰς τέλος ἐλευθέρωσον τὸν δοῦλόν σου
all-working and to (the)-end free the servant your
καὶ πατέρα μου τῆς χαλεπῆς ἐκείνης αἰχμαλωσίας τοῦ
and father my from-the grievous that captivity of-the
Διαβόλου· καὶ ὑπόδειξον αὐτῷ ἐναργέστατα, ὅτι σὺ εἶ ὁ
Devil and show him most-clearly that you are the
ἀεὶ ζῶν Θεὸς ἀψευδὴς καὶ βασιλεὺς μόνος αἰώνιος καὶ
always living God unlying and king alone eternal and
ἀθάνατος. Ἴδε μου, δέσποτα, τὴν συντριβὴν τῆς καρδίας
immortal behold my master the contrition of-the heart
ἱλέῳ καὶ εὐμενεῖ ὄμματι· καὶ, κατὰ τὴν ἀψευδῆ
with-gracious and kindly eye and according-to the unlying
σου ἐπαγγελίαν, γενοῦ μετ' ἐμοῦ τοῦ γινώσκοντος καὶ
your promise be with me the(-one) knowing and

ὁμολογοῦντός σε ποιητὴν καὶ προνοητὴν πάσης κτίσεως.
confessing you maker and provider of-all creation
Πηγασάτω ἐν ἐμοὶ τὸ σὸν ἁλλόμενον ὕδωρ· καὶ δοθήτω
let-spring-up in me the your leaping water and let-be-given
μοι λόγος ἐν ἀνοίξει τοῦ στόματος, καὶ νοῦς καλῶς
to-me (a)-word in (the)-opening of-the mouth and (a)-mind well
ἡδρασμένος ἐν σοὶ τῷ ἀκρογωνιαίῳ λίθῳ, ἵνα δυνήσομαι
established in you the chief-corner stone that I-may-be-able
ὁ ἀχρεῖος οἰκέτης σου καταγγεῖλαι τῷ ἐμῷ γεννήτορι, ὡς
the useless servant your to-proclaim to-the my begetter as
δεῖ, τὸ μυστήριον τῆς σῆς οἰκονομίας, καὶ ἀποστῆσαι
is-needful the mystery of-the your dispensation and to-turn-away
αὐτὸν τῇ σῇ δυνάμει τῆς ματαίας πλάνης τῶν πονηρῶν
him by-the your power from-the vain error of-the evil
δαιμόνων, καὶ προσαγαγεῖν σοι τῷ Θεῷ καὶ δεσπότῃ,
demons and to-bring(-him) to-you — God and master
τῷ μὴ βουλομένῳ τὸν θάνατον ἡμῶν τῶν ἁμαρτωλῶν,
the(-one) not wishing the death our of-the sinners
ἀλλ' ἀναμένοντι τὴν ἐπιστροφὴν καὶ τὴν μετάνοιαν, ὅτι
but awaiting the return and the repentance for
δεδοξασμένος εἶ εἰς τοὺς αἰῶνας. Ἀμήν.»
glorified you-are into the ages amen
Οὕτως εὐξάμενος καὶ πληροφορίαν λαβὼν μὴ διαμαρτεῖν
thus having-prayed and assurance having-received not to-miss
τοῦ ποθουμένου, τῇ εὐσπλαγχνίᾳ τοῦ Χριστοῦ θαῤῥήσας,
the(-thing) longed-for in-the compassion — of-Christ taking-courage
ἐξάρας ἐκεῖθεν μετὰ τῆς βασιλικῆς δορυφορίας, τὰ
having-set-out thence with the royal bodyguard the
βασίλεια καταλαμβάνει τοῦ ἰδίου πατρός. Ὡς δὲ τῷ πατρὶ
palace reaches of-the own father when and to-the father
ἀπηγγέλη ἡ ἄφιξις τοῦ υἱοῦ, ἐξέρχεται εὐθὺς εἰς συνάντησιν
was-announced the arrival of-the son goes-out at-once to meeting

αὐτῷ, περιπλέκεται, καταφιλεῖ, μεγίστην ποιεῖται χαρὰν
him embraces kisses greatest makes joy
καὶ δημοτελῆ ἑορτὴν ἐπὶ τῇ παρουσίᾳ τοῦ υἱοῦ αὐτοῦ.
and public feast for the presence of-the son his
Τί δὲ τὸ μετὰ ταῦτα; Συγκαθέζονται καταμόνας
what and the(-thing) after these(-things) they-sit-together alone
ἀλλήλοις. Καὶ τί ἄν τις εἴποι ἅπερ διείλεκται τότε
with-one-another and what — anyone might-say which has-discussed then
τῷ βασιλεῖ ὁ υἱὸς καὶ μεθ' ὅσης τῆς φιλοσοφίας;
with-the king the son and with how-much the philosophy
τί δὲ ἄλλο γε ἢ τὰ τῷ θείῳ Πνεύματι
what and else at-least than the(-things) by-the divine Spirit
αὐτῷ ὑπηχούμενα, δι' οὗ οἱ ἁλιεῖς σαγηνεύουσι τῷ
to-him prompted through which the fishermen net —
Χριστῷ τὸν κόσμον ὅλον, καὶ οἱ ἀγράμματοι τῶν
for-Christ the world whole and the unlettered than-the
σοφῶν σοφώτεροι δείκνυνται. Τῇ τούτου χάριτι καὶ αὐτὸς
wise wiser are-shown by-the of-this grace also he
σοφισθεὶς ἐλάλει τῷ βασιλεῖ καὶ πατρὶ, φωτίζων αὐτὸν
made-wise spoke to-the king and father enlightening him
φῶς γνώσεως. Καὶ πρότερον γὰρ, πολλὰ κοπιάσας τοῦ
(with)-light of-knowledge and formerly for much having-toiled of-the
ἑλκύσαι τῆς δεισιδαίμονος πλάνης τὸν πατέρα, τί μὲν
to-draw from-the superstitious error the father what indeed
οὐ λέγων, τί δὲ οὐ ποιῶν, ὥστε τοῦτον ἐπαναγαγέσθαι,
not saying what and not doing so-as this-one to-bring-back
κενὴν ψάλλειν ἐῴκει, καὶ εἰς ὦτα λέγειν μὴ ἀκουόντων·
empty to-harp he-seemed and into ears to-speak not hearing
ὅτε δὲ ἐπέβλεψεν ὁ Κύριος ἐπὶ τὴν ταπείνωσιν τοῦ
when and looked the Lord upon the humility of-the
δούλου αὐτοῦ Ἰωάσαφ, καὶ, τῆς δεήσεως αὐτοῦ ὑπακούσας,
servant his Ioasaph and the prayer his having-heard

τὰς κεκλεισμένας πύλας τῆς καρδίας τοῦ πατρὸς αὐτοῦ
the shut gates of-the heart of-the father his
διήνοιξε («θέλημα» γὰρ, φησί, «τῶν φοβουμένων αὐτὸν
he-opened the-will for he-says of-those fearing him
ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται»), ῥαδίως
he-will-do and the prayer their he-will-hear easily
τὰ λεγόμενα συνίει ὁ βασιλεύς· ὥστε, καιροῦ
the(-things) said understood the king so-that (an)-occasion
εὐθέτου τυχόντα, τὸν υἱὸν τῇ τοῦ Χριστοῦ χάριτι κατὰ
suitable having-found the son by-the — of-Christ grace against
τῶν πονηρῶν ἆραι νίκην Πνευμάτων τῶν κυριευσάντων
the evil to-win victory Spirits those having-mastered
τῆς ψυχῆς τοῦ πατρὸς αὐτοῦ, καὶ τῆς τούτων πλάνης
the soul of-the father his and from-the their error
τέλεον ἐλευθερῶσαι αὐτὸν, τὸν σωτήριον δὲ τρανῶς
fully to-free him the saving and clearly
γνωρίσαι λόγον καὶ τῷ ἐν οὐρανοῖς οἰκειῶσαι ζῶντι Θεῷ.
to-make-known word and to-the in heavens to-make-akin living God
Ἐξ ἀρχῆς γὰρ τὸν λόγον ἀναλαβὼν, ἀπήγγειλεν
from (the)-beginning for the word having-taken-up he-announced
αὐτῷ ἃ οὐκ ᾔδει μεγάλα καὶ θαυμαστὰ, ἃ τοῖς
to-him what not he-knew great and wonderful which with-the
ὠσὶ τῆς καρδίας οὐκ ἀκηκόει, πολλὰ μὲν αὐτῷ περὶ
ears of-the heart not he-had-heard many indeed to-him about
Θεοῦ φθεγξάμενος καὶ τὴν εὐσέβειαν παραδεικνὺς, ὡς οὐκ
God having-uttered and the godliness showing that not
ἔστιν ἄλλος Θεὸς ἐν οὐρανῷ ἄνω, οὔτε ἐπὶ γῆς κάτω,
is other God in heaven above nor on earth below
εἰ μὴ ὁ ἐν Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι
if not the(-one) in Father and Son and holy Spirit
γνωριζόμενος εἷς Θεός· πολλὰ δὲ μυστήρια γνωρίσας
known one God many and mysteries having-made-known

τῆς θεολογίας, ἐφ᾽ οἷς καὶ τὰ περὶ τῆς ἀοράτου τε
of-the theology upon which also the(-things) about the invisible both
καὶ ὁρατῆς διήγγειλε κτίσεως, ὅπως ἐκ μὴ ὄντων τὰ
and visible he-related creation how from not being(-things) the
πάντα παραγαγὼν ὁ δημιουργὸς, κατ᾽ εἰκόνα καὶ
all having-brought-forth the creator according-to (the)-image and
ὁμοίωσιν αὐτοῦ πλάσας τὸν ἄνθρωπον καὶ τοῦτον τῷ
likeness his having-formed the man and this-one with-the
αὐτεξουσίῳ τιμήσας, τῶν ἐν παραδείσῳ καλῶν μετέχειν
self-determination having-honored of-the in paradise good(-things) to-partake
πεποίηκεν, ἀπέχεσθαι τούτου μόνου κελεύσας ὅπερ ἦν
made to-abstain from-this alone having-ordered which-very was
τὸ ξύλον τῆς γνώσεως, ἠθετηκότα δὲ τὴν ἐντολὴν τοῦ
the tree of-the knowledge having-set-aside and the commandment from-the
παραδείσου ἐξώρισεν· ὅθεν, τῆς πρὸς αὐτὸν οἰκειότητος
paradise he-banished whence from-the to him intimacy
ὀλισθῆσαν, εἰς τὰς πολλὰς ταύτας περιπέπτωκε πλάνας τὸ
having-slipped into the many these has-fallen errors the
ἀνθρώπινον γένος, δουλωθὲν ταῖς ἁμαρτίαις καὶ ὑποπεσὸν
human race enslaved to-the sins and fallen-under
τῷ θανάτῳ διὰ τῆς τυραννίδος τοῦ Διαβόλου· ὃς,
to-the death through the tyranny of-the Devil who
ὑποχειρίους ἅπαξ τοὺς ἀνθρώπους λαβὼν, παντελῶς
subject once the men having-taken utterly
ἐπιλαθέσθαι πεποίηκε τοῦ Θεοῦ καὶ δεσπότου, καὶ αὐτῷ
to-forget has-made — God and master and him
ἀνέπεισε λατρεύειν διὰ τῆς τῶν εἰδώλων μυσαρᾶς
persuaded to-serve through the of-the idols foul
προσκυνήσεως. Σπλαγχνισθεὶς οὖν ὁ πλάσας ἡμᾶς
worship having-had-compassion then the having-formed us
Θεὸς, εὐδοκίᾳ τοῦ Πατρὸς καὶ συνεργίᾳ τοῦ Ἁγίου
God by-good-pleasure of-the Father and by-cooperation of-the holy

Πνεύματος, εὐδόκησεν ἐκ παρθένου ἁγίας, τῆς θεοτόκου
Spirit was-pleased from (a)-virgin holy the God-bearer
Μαρίας, καθ' ἡμᾶς τεχθῆναι· καὶ, πάθεσιν ὁμιλήσας ὁ
Mary like us to-be-born and with-passions having-consorted the
ἀπαθὴς, διὰ τρίτης τε ἡμέρας ἐκ νεκρῶν ἀναστὰς,
impassible(-one) through third and day from (the)-dead having-risen
ἐλυτρώσατο ἡμᾶς τοῦ προτέρου ἐπιτιμίου καὶ κλέους τοῦ
redeemed us from-the former penalty and of-glory the
προτέρου ἠξίωσε. Συνανήγαγε γὰρ ἡμᾶς εἰς οὐρανοὺς
former deemed-worthy he-led-up-with(-him) for us into heavens
ἀνερχόμενος, ὅθεν ἐτύγχανε καταβεβηκώς· ὃν καὶ αὖθις
ascending whence happened having-come-down whom also again
ἥξειν πιστεύομεν, ἵνα τὸ πλάσμα τὸ ἑαυτοῦ ἀναστήσῃ.
to-come we-believe that the creature the his-own he-may-raise
Ἀποδώσει δὲ ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Ἐπὶ τούτοις
he-will-render and to-each according-to the works his upon these
τὴν ἐκδεχομένην τοὺς ἀξίους τῶν οὐρανῶν ἐμυσταγώγει
the awaiting the worthy of-the heavens he-initiated(-him-into)
βασιλείαν καὶ, τὰ ἀπόῤῥητα ἀγαθά. Τὴν ἀποκειμένην τοῖς
kingdom and the unspeakable good(-things) the laid-up for-the
φαύλοις προσετίθει βάσανον, τὸ ἄσβεστον πῦρ, τὸ ἐξώτερον
wicked he-added torment the unquenchable fire the outer
σκότος, τὸν ἀτελεύτητον σκώληκα, καὶ ὅσην ἄλλην οἱ
darkness the endless worm and as-much other the
τῆς ἁμαρτίας δοῦλοι κόλασιν ἑαυτοῖς ἐθησαύρισαν.
of-the sin slaves punishment for-themselves stored-up

XVII · ABENNER'S BAPTISM AND DEATH

Abenner confesses Christ before all and worships the cross, and the crowds cry with one voice that great is the God of the Christians. He casts down his idols of gold and silver and gives the pieces to the poor, and with his son razes temples throughout the land. The bishop instructs him, and Ioasaph receives his father from the font, becoming the begetter of his begetter. The city is baptized and the sick are healed. Abenner gives up his rule and lives four years in repentance; dying in fear of his sins, he is consoled by his son, blesses him, and commits his spirit to the Lord. Ioasaph buries him in penitent's clothing and prays at his tomb for his forgiveness.

Ταῦτα πάντα λόγοις πλείστοις, καὶ δαψιλῶς αὐτῷ
these(-things) all in-words very-many and abundantly in-him
ἐνυπάρχουσαν τὴν τοῦ Πνεύματος μαρτυροῦσι χάριν,
dwelling the of-the Spirit bearing-witness grace
διεξελθὼν, εἶτα καὶ τὸ ἀνεξιχνίαστον πέλαγος τῆς τοῦ
having-gone-through then also the unsearchable sea of-the —
Θεοῦ διηγούμενος φιλανθρωπίας, καὶ οἷος ἐστὶν ἕτοιμος
of-God relating loving-kindness and what-sort he-is ready
δέχεσθαι τὴν μετάνοιαν τῶν πρὸς αὐτὸν ἐπιστρεφόντων, καὶ
to-receive the repentance of-those to him turning and
ὡς οὐκ ἔστιν ἁμαρτία νικῶσα τὴν αὐτοῦ εὐσπλαγχνίαν,
that not is sin conquering the his compassion
εἴπερ θελήσομεν μετανοῆσαι, ἐκ πολλῶν δὲ τοῦτο
if-indeed we-will to-repent from many and this
παραδειγμάτων καὶ γραφικῶν παραστήσας μαρτυριῶν, ὁ
examples and of-scriptural having-established testimonies he
μὲν τέλος ἐπέθηκε τῷ λόγῳ. Κατανυγεὶς δὲ ὁ βασιλεὺς
indeed (an)-end put to-the word pierced and the king
Ἀβεννὴρ ἐπὶ τῇ θεοδιδάκτῳ σοφίᾳ ταύτῃ, φωνῇ μεγάλῃ
Abenner at the God-taught wisdom this with-voice great

καὶ θερμοτάτῃ ψυχῇ τὸν σωτῆρα Χριστὸν ὡμολόγει,
and with-most-fervent soul the savior Christ confessed
πάσης ἀποστὰς δεισιδαίμονος πλάνης.
from-all having-stood-away superstitious error
Τὸ σημεῖόν τε προσκυνεῖ τοῦ ζωοποιοῦ σταυροῦ ὑπὸ τῇ
the sign both he-worships of-the life-giving cross under the
πάντων ὄψει καὶ εἰς ἐπήκοον ἁπάντων Θεὸν κηρύττει
of-all sight and into hearing of-all God he-proclaims
ἀληθινὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν· τήν τε προτέραν
true the Lord our Jesus Christ the both former
ἀσέβειαν διεξελθὼν, τὴν οἰκείαν τε κατὰ τῶν χριστιανῶν
impiety having-gone-through the own and against the Christians
ὠμότητα καὶ μιαφονίαν ἐλέγξας, μέγα μέρος πρὸς τὴν
cruelty and bloodguilt having-exposed great part toward the
εὐσέβειαν γίνεται· ὡς ἐντεῦθεν ἔργῳ τὸ εἰρημένον
godliness becomes so-that thence by-deed the(-thing) said
τῷ Παύλῳ γνωσθῆναι, καὶ ὅπου ὁ τῆς ἀσεβείας ὑπῆρχε
— *by-Paul to-be-known and where the of-the impiety was*
πλεονασμὸς, ἐκεῖ καὶ τὴν περίσσειαν γενέσθαι τῆς χάριτος.
abundance there also the superabundance to-come-about of-the grace
Πολλὰ τοίνυν καὶ τοῦ σοφωτάτου Ἰωάσαφ τοῖς
many-things then also the most-wise Ioasaph to-the
συνελθοῦσι τότε στρατηγοῖς τε καὶ σατράπαις καὶ
having-come-together then generals both and satraps and
παντὶ τῷ λαῷ περὶ Θεοῦ καὶ τῆς εἰς αὐτὸν εὐσεβείας
to-all the people about God and of-the toward him godliness
διαλεγομένου, καὶ οἱονεὶ πυρίνῃ γλώσσῃ καλόν τι
discoursing and as-it-were with-fiery tongue fine something
καὶ ᾠδικὸν τερετίζοντος, ἡ τοῦ Ἁγίου Πνεύματος χάρις
and songlike warbling the of-the holy Spirit grace
ἐπιφοιτήσασα πάντας εἰς δοξολογίαν ἐκίνει Θεοῦ, ὡς ἐκ
having-come-upon(-them) all to glorification moved of-God as from

μιᾶς φωνῆς πάντων βοησάντων τῶν ὄχλων· «Μέγας ὁ Θεὸς
one voice all having-cried-out the crowds great — God
τῶν χριστιανῶν· οὐκ ἔστιν ἄλλος θεὸς, πλὴν τοῦ κυρίου ἡμῶν
of-the Christians not is other god except the Lord our
Ἰησοῦ Χριστοῦ σὺν Πατρὶ καὶ Ἁγίῳ Πνεύματι δοξαζομένου.»
Jesus Christ with Father and holy Spirit glorified
Ζήλου δὲ θείου κατάπλεως γενόμενος, ὁ βασιλεὺς
with-zeal and divine full having-become the king
Ἀβεννὴρ ἐφάλλεται στερῥῶς τοῖς εἰδώλοις ἃ ἦσαν ἐν
Abenner leaps-upon firmly the idols which were in
τῷ παλατίῳ αὐτοῦ ἐκ χρυσοῦ καὶ ἀργύρου πεποιημένα,
the palace his from gold and silver made
καὶ εἰς ἔδαφος ταῦτα κατασπᾷ. Εἶτα, εἰς λεπτὰ
and to (the)-ground these drags-down then into small(-pieces)
διελὼν, πένησι διανέμει, ὠφέλιμα οὕτω τὰ ἀνωφελῆ
having-divided to-(the)-poor distributes useful thus the useless
θέμενος. Ἀμέλει καὶ μετὰ τοῦ υἱοῦ τοὺς εἰδώλων ναοὺς
having-made indeed and with the son the of-idols temples
καὶ βωμοὺς περιστάντες μέχρις αὐτῶν κατηδάφουν τῶν
and altars having-surrounded to-the-very their they-razed the
θεμελίων· ἱερὰ δὲ τῷ Θεῷ τεμένη ἀντῳκοδόμουν. Οὐ
foundations holy and — to-God precincts built-in-their-place not
μόνον δὲ ἐν τῇ πόλει, ἀλλὰ καὶ ἀνὰ πᾶσαν τὴν
only and in the city but also throughout all the
χώραν σπουδῇ ταῦτα ἐποίουν. Τὰ δὲ πονηρὰ Πνεύματα
land with-zeal these(-things) they-did the and evil Spirits
τὰ τοῖς βωμοῖς ἐνοικοῦντα ὀλολύζοντα ἠλαύνοντο, καὶ
the in-the altars dwelling howling were-driven and
τὴν ἄμαχον τοῦ Θεοῦ ἡμῶν δύναμιν ὑποτρέμοντα ἐβόων.
the invincible — of-God our power trembling-at cried-out

Πᾶσα δὲ ἡ περίχωρος καὶ τὰ τῶν προσοίκων ἐθνῶν
all and the surrounding-country and the of-the neighboring nations
πλεῖστα πρὸς τὴν εὐσεβῆ πίστιν ἐχειραγωγοῦντο.
most to the godly faith were-led-by-the-hand
Τότε δὴ τοῦ ἀνωτέρω ῥηθέντος θειοτάτου ἐπισκόπου
then indeed the above mentioned most-divine bishop
παραγενομένου, κατηχεῖται ὁ βασιλεὺς Ἀβεννὴρ, καὶ τῷ
having-arrived is-instructed the king Abenner and with-the
θείῳ τελειοῦται βαπτίσματι εἰς τὸ ὄνομα τοῦ Πατρὸς,
divine is-perfected baptism into the name of-the Father
τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Καὶ Ἰωάσαφ τοῦτον
of-the Son and of-the holy Spirit and Ioasaph him
ἐκ τῆς θείας κολυμβήθρας ἀναδέχεται, τοῦτο δὴ τὸ
from the divine font receives this indeed the
καινότατον γεννήτωρ τοῦ πατρὸς ἀναδειχθεὶς, καὶ τῷ
newest(-thing) begetter of-the father shown-forth and to-the(-one)
σαρκικῶς γεννήσαντι τῆς πνευματικῆς ἀναγεννήσεως
fleshly having-begotten of-the spiritual regeneration
πρόξενος γενόμενος· υἱὸς γὰρ ἦν τοῦ οὐρανίου πατρὸς,
agent having-become son for he-was of-the heavenly father
καὶ καρπὸς ὄντως τῆς θείας ῥίζης θειότατος, ῥίζης ἐκείνης
and fruit truly of-the divine root most-divine root that
τῆς βοώσης· «Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα.»
the(-one) crying I am the vine you the branches
Οὕτως ἀναγεννηθεὶς ὁ βασιλεὺς Ἀβεννὴρ δι' ὕδατος καὶ
thus born-again the king Abenner through water and
πνεύματος ἔχαιρε χαρᾷ ἀνεκλαλήτῳ· σὺν αὐτῷ δὲ καὶ
spirit rejoiced with-joy unspeakable with him and also
πᾶσα ἡ πόλις καὶ ἡ περίχωρος τοῦ θείου ἠξιοῦτο
all the city and the surrounding-country of-the divine was-deemed-worthy
βαπτίσματος, καὶ φωτὸς υἱοὶ ἀνεδείκνυντο οἱ πρὶν
baptism and of-light sons were-shown those before

ἐσκοτισμένοι. Πᾶσα δὲ νόσος καὶ πᾶσα δαιμονικὴ ἐπιφορὰ
darkened all and disease and all demonic assault
πόῤῥω τῶν πιστευόντων ἠλαύνετο· ἄρτιοι δὲ καὶ ὑγιεῖς
far from-those believing was-driven sound and also healthy
πάντες τὰς ψυχὰς καὶ τὰ σώματα ἦσαν. Καὶ πολλὰ ἕτερα
all in-the souls and the bodies were and many other
θαυμάσια εἰς βεβαίωσιν τῆς πίστεως ἐτελοῦντο. Ἐκκλησίαι
wonders for confirmation of-the faith were-accomplished churches
τε ἀνῳκοδομοῦντο, καὶ ἐπίσκοποι, οἵ τε κεκρυμμένοι
both were-rebuilt and bishops those both hidden
διὰ τὸν φόβον ἐφανεροῦντο καὶ τὰς ἰδίας ἀπελάμβανον
because-of the fear were-made-manifest and the own received-back
ἐκκλησίας, καὶ ἄλλοι ἔκ τε τῶν ἱερέων καὶ τῶν μοναζόντων
churches and others from both the priests and the monks
προεχειρίζοντο εἰς τὸ ποιμαίνειν τὸ τοῦ Χριστοῦ ποίμνιον.
were-appointed for the to-shepherd the — of-Christ flock
Ὁ μέντοι βασιλεὺς Ἀβεννὴρ, οὕτω τῆς προτέρας ἐκείνης
the however king Abenner thus from-the former that
μοχθηρᾶς ἀγωγῆς ἀποστὰς καὶ μετάμελος ὢν ἐφ’
wicked regimen having-stood-away and repentant being for
οἷς ἔπραξε, πᾶσαν μὲν τὴν βασίλειον ἀρχὴν τῷ υἱῷ
what he-had-done all indeed the royal rule to-the son
παραδίδωσιν· αὐτὸς δὲ καθ’ ἑαυτὸν ἠρεμῶν, κόνιν ἀεὶ
hands-over he and by himself keeping-quiet dust always
τῆς κεφαλῆς καταχέων, βαρεῖς τε ἀναφέρων στεναγμοὺς
of-the head pouring-down heavy both bringing-up groans
καὶ λούων τοῖς δάκρυσιν ἑαυτὸν, μόνος μόνῳ τῷ
and washing with-the tears himself alone with-the-alone the
πανταχοῦ παρόντι ὡμίλει, συγγνώμην αὐτῷ τῶν οἰκείων
everywhere present(-one) conversed pardon from-him of-the own
πταισμάτων ἐξαιτούμενος. Εἰς τοσαύτην δὲ κατανύξεως καὶ
stumblings asking into so-great and of-compunction and

ταπεινοφροσύνης ἄβυσσον ἑαυτὸν καθῆκεν, ὡς παραιτεῖσθαι
of-humility abyss himself he-let-down as to-refuse
καὶ τὸ τοῦ Θεοῦ ὄνομα τοῖς ἑαυτοῦ ὀνομάζειν χείλεσι,
even the — of-God name with-the his-own to-name lips
μόλις δὲ τούτου τῇ τοῦ υἱοῦ νουθεσίᾳ κατατολμῆσαι.
hardly and this by-the of-the son admonition to-venture
Οὕτω δὲ τὴν καλὴν ἀλλοίωσιν ἠλλοιώθη καὶ τὴν πρὸς
thus and the fair change he-was-changed and the to
ἀρετὴν ἀπάγουσαν ὥδευσε τρίβον, ὡς ὑπερβῆναι αὐτὸν
virtue leading traveled path so-that to-surpass him
τῇ εὐσεβείᾳ τῶν προτέρων ἀνομιῶν τὸ ἀγνόημα.
in-the godliness of-the former iniquities the ignorance
Ἐπὶ τέσσαρας δὲ χρόνους οὕτω βιοὺς ἐν μετανοίᾳ καὶ
for four and years thus having-lived in repentance and
δάκρυσι καὶ ἀρετῇ πάσῃ, ἀῤῥωστίᾳ περιέπεσεν, ἐν ᾗ
tears and virtue all into-sickness he-fell in which
καὶ τελευτᾷ. Ὅτε δὲ τὸ τέλος ἤγγισεν, ἤρξατο φοβεῖσθαι
also he-dies when and the end drew-near he-began to-fear
καὶ ἀδημονεῖν, μνείαν ποιούμενος τῶν αὐτῷ πεπραγμένων
and to-be-distressed mention making of-the by-him done
κακῶν. Ὁ δὲ Ἰωάσαφ ῥήμασι παρακλητικοῖς τὸ ἐπιπεσὸν
evils — and Ioasaph with-words consoling the having-fallen-on
αὐτῷ διεκούφιζεν ἄχθος, «Ἱνατί περίλυπος εἶ», λέγων,
him lightened burden why very-grieved are-you saying
«ὦ πάτερ, καὶ ἱνατί συνταράττεις ἑαυτόν; ἔλπισον ἐπὶ
O father and why do-you-trouble yourself hope in
τὸν Θεὸν, καὶ ἐξομολόγει αὐτῷ, ὅς ἐστιν «ἐλπὶς πάντων
— God and confess to-him who is (the)-hope of-all
τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακρὰν», ὃς
the ends of-the earth and of-those in (the)-sea far-off who
κέκραγε διὰ τοῦ προφήτου βοῶν· «Λούσασθε, καθαροὶ
has-cried through the prophet calling wash clean

γένεσθε· ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν
become take-away the wickednesses from the souls your
ἀπέναντι τῶν ὀφθαλμῶν μου· μάθετε καλὸν ποιεῖν· καὶ
before the eyes my learn good to-do and
ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα
if be the sins your as purple as snow
λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡσεὶ ἔριον λευκανῶ.»
I-will-whiten if and be as scarlet as wool I-will-whiten
Μὴ φοβοῦ τοίνυν, ὦ πάτερ, μηδὲ δίσταζε· οὐ νικῶσι γὰρ
not fear then O father nor doubt not conquer for
αἱ ἁμαρτίαι τῶν ἐπιστρεφόντων πρὸς Θεὸν τὴν ἄπειρον
the sins of-those turning to God the infinite
αὐτοῦ ἀγαθότητα. Αὗται γὰρ ὑπὸ μέτρον εἰσὶ καὶ ἀριθμὸν,
his goodness these for under measure are and number
ὅσαι ἂν ὦσιν· ἐκείνη δὲ ἀμέτρητός ἐστι καὶ ἀναρίθμητος.
as-many-as — be that and immeasurable is and innumerable
Οὐκ ἐνδέχεται τοίνυν τὸ ὑποκείμενον μέτρῳ τοῦ
not is-possible then the(-thing) subject to-measure the
ἀμετρήτου περιγενέσθαι.» Τοιούτοις παρακλητικοῖς ῥήμασι
immeasurable to-overcome with-such consoling words
κατεπᾴδων αὐτοῦ τὴν ψυχὴν, εὔελπιν ἀπειργάσατο.
charming his the soul of-good-hope he-made(-it)
Εἶτα ἐκτείνας ὁ πατὴρ τὰς χεῖρας, εὐχαριστῶν αὐτῷ
then having-stretched-out the father the hands giving-thanks for-him
ὑπερηύχετο, καὶ τὴν ἡμέραν εὐλόγει ἐν ᾗ αὐτὸς ἐγεννήθη,
prayed and the day blessed in which he was-born
«Τέκνον» λέγων, «γλυκύτατον, τέκνον οὐκ ἐμὸν, ἀλλὰ τοῦ
child saying sweetest child not mine but of-the
οὐρανίου πατρὸς, ποίαν ἀποδώσω σοι χάριν; ποίαις
heavenly father what-sort shall-I-render to-you thanks with-what-sort
εὐλογήσω σε εὐλογίαις; τίνα δὲ εὐχαριστίαν ἀναπέμψω
shall-I-bless you blessings what and thanksgiving shall-I-send-up

τῷ Θεῷ περὶ σοῦ; ἀπολωλὼς γὰρ ἤμην, καὶ εὑρέθην διὰ
— to-God about you lost for I-was and was-found through
σοῦ· νεκρὸς ἤμην τῇ ἁμαρτίᾳ, καὶ ἀνέζησα· ἐχθρὸς καὶ
you dead I-was in-the sin and came-to-life-again enemy and
ἀποστάτης Θεοῦ, καὶ κατηλλάγην. Τί οὖν ἀνταποδώσω
apostate of-God and I-was-reconciled what then shall-I-repay
σοι ὑπὲρ τούτων ἁπάντων; Θεός ἐστιν ὁ ἀξίας σοι
you for these all God it-is the(-one) worthy to-you
παρέχων τὰς ἀμοιβάς.» Οὕτω λέγων, πυκνὰ κατεφίλει τὸν
providing the returns thus saying often he-kissed the
φίλτατον παῖδα. Εἶτα εὐξάμενος, καὶ, «Εἰς χεῖράς σου,
dearest child then having-prayed and into hands your
φιλάνθρωπε Θεὲ, παρατίθημι τὸ πνεῦμά μου», εἰπὼν, ἐν
loving-mankind God I-commit the spirit my having-said in
μετανοίᾳ τὴν ψυχὴν καὶ εἰρήνῃ παρέθετο τῷ Κυρίῳ.
repentance the soul and peace he-committed to-the Lord
Ὁ δὲ Ἰωάσαφ δάκρυσι τιμήσας τελευτήσαντα τὸν
— and Ioasaph with-tears having-honored having-died the
πατέρα, καὶ κηδεύσας αὐτοῦ τὸ λείψανον ἐντίμως, κατέθετο
father and having-buried his the remains with-honor laid(-them)
ἐν μνήματι ἀνδρῶν εὐσεβῶν, οὐ μέντοι βασιλικῇ περιβαλὼν
in (a)-tomb of-men godly not however with-royal having-clothed
ἐσθῆτι, ἀλλὰ μετανοίας κοσμήσας ἀμφίοις. Στὰς δὲ ἐπὶ
garment but of-repentance having-adorned with-garments having-stood and at
τῷ μνήματι, χεῖράς τε εἰς οὐρανὸν διάρας, καὶ δάκρυα
the tomb hands both to heaven having-raised and tears
ποταμηδὸν τῶν ὀμμάτων καταδύσας, ἐβόησε πρὸς τὸν
like-a-river from-the eyes having-let-down cried-out to —
Θεὸν, λέγων· «Ὁ Θεὸς, εὐχαριστῶ σε, βασιλεῦ τῆς δόξης,
God saying O God I-thank you king of-the glory
μόνε κραταιὲ καὶ ἀθάνατε, ὅτι οὐ παρεῖδες τὴν δέησίν μου
alone mighty and immortal that not you-overlooked the prayer my

καὶ τῶν δακρύων μου οὐ παρεσιώπησας, ἀλλ' εὐδόκησας
and the tears my not you-passed-over-in-silence but you-were-pleased
τὸν δοῦλόν σου τοῦτον καὶ πατέρα μου τῆς ὁδοῦ
the servant your this and father my from-the way
ἐπιστρέψαι τῶν ἀνομιῶν καὶ πρὸς ἑαυτὸν ἑλκύσαι τὸν
to-turn of-the iniquities and to yourself to-draw the
σωτῆρα τῶν ἁπάντων, ἀποστήσας μὲν τῆς ἀπάτης
savior of-the all having-turned-away indeed from-the deceit
τῶν εἰδώλων, καταξιώσας δὲ γνωρίσαι σε τὸν ἀληθινὸν
of-the idols having-deemed-worthy and to-know you the true
Θεὸν καὶ φιλάνθρωπον. Καὶ νῦν, ὦ κύριέ μου καὶ θεέ,
God and loving-mankind and now O Lord my and God
ὁ ἀνεξιχνίαστον ἔχων τὸ τῆς ἀγαθότητος πέλαγος,
the(-one) unsearchable having the of-the goodness sea
τάξον αὐτὸν ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναπαύσεως,
set him in (a)-place green in (a)-place of-rest
ὅπου τὸ φῶς λάμπει τοῦ προσώπου σου· καὶ μὴ μνησθῇς
where the light shines of-the face your and not remember
ἀνομιῶν αὐτοῦ ἀρχαίων, ἀλλὰ, κατὰ τὸ πολὺ ἔλεός
(the)-iniquities his ancient but according-to the great mercy
σου, ἐξάλειψον τὸ χειρόγραφον τῶν αὐτοῦ πταισμάτων,
your blot-out the handwriting of-the his stumblings
καὶ τὰ γραμματεῖα διάῤῥηξον τῶν αὐτοῦ ὀφλημάτων, καὶ
and the bonds tear-up of-the his debts and
τοὺς ἁγίους σου κατάλλαξον αὐτῷ οὓς πυρί τε καὶ
the saints your reconcile to-him whom with-fire both and
ξίφει ἀνεῖλεν· ἐπίταξον αὐτοὺς μὴ κατ' αὐτοῦ ὀργίζεσθαι.
sword he-killed command them not against him to-be-angry
Πάντα γὰρ δυνατά σοι τῷ πάντων δεσπότῃ, ἀλλ' ἢ
all for possible to-you the of-all master but or
μόνον τὸ μὴ ἐλεεῖν τοὺς μὴ ἐπιστρέφοντας πρὸς σέ·
only the not to-have-mercy-on those not turning to you

τοῦτο ἀδύνατον. Τὸ γὰρ ἔλεός σου ἐκκέχυται ἐπὶ πάντας,
this (is)-impossible the for mercy your has-been-poured upon all
καὶ σώζεις τοὺς ἐπικαλουμένους σε, Κύριε Ἰησοῦ Χριστὲ,
and you-save those calling-upon you Lord Jesus Christ
ὅτι πρέπει σοι δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.»
for befits you glory into the ages amen

XVIII · THE DEPARTURE REFUSED

Ioasaph prays at the tomb for seven days and then gives all his wealth to the poor. On the fortieth day he gathers the people: his father died like a poor man, and every man must give account; he will now go where God leads, and they must choose a king. The people protest with oaths, and he sends them home. Privately he begs Barachias to take the kingdom; Barachias refuses, asking why he would lay on another the burden he flees. By night Ioasaph leaves a letter naming Barachias and slips away, but the people find him praying in a ravine and bring him back. He swears he will go.

Τοιαύτας εὐχὰς καὶ δεήσεις προσέφερε τῷ Θεῷ ἐν
such prayers and supplications he-offered — to-God in
ὅλαις ἑπτὰ ἡμέραις, μηδόλως τοῦ μνήματος ἀποστὰς,
whole seven days not-at-all from-the tomb having-stood-away
μὴ βρώσεως ἢ πόσεως τοπαράπαν μνησθεὶς, μήτε
not of-food or of-drink at-all having-remembered nor
μὴν ἀναπαύσεως ὕπνου μετασχών· ἀλλὰ δάκρυσι μὲν
indeed of-rest of-sleep having-partaken but with-tears indeed
τὸ ἔδαφος ἔβρεχε, στεναγμοῖς δὲ ἀσιγήτοις εὐχόμενος
the ground he-wetted with-groans and unceasing praying
διετέλει. Τῇ ὀγδόῃ δὲ εἰς τὸ παλάτιον ἐπανελθὼν, πάντα
he-continued on-the eighth and into the palace having-returned all

τὸν πλοῦτον καὶ τὰ χρήματα τοῖς πένησι διένειμεν, ὡς
the wealth and the moneys to-the poor he-distributed so-that
μηκέτι ὑπολειφθῆναί τινα τῶν χρείαν ἐχόντων.
no-longer to-be-left anyone of-those need having
Ἐν ὀλίγαις δὲ ἡμέραις τὴν τοιαύτην τελέσας διακονίαν
in few and days the such having-completed ministry
καὶ πάντας τοὺς θησαυροὺς κατακενώσας, ὅπως μέλλοντι
and all the treasures having-emptied so-that (to-one)-about
τὴν στενὴν εἰσιέναι πύλην μηδὲν αὐτῷ ἐμποδίσειεν ὁ
the narrow to-enter gate nothing him might-hinder the
τῶν χρημάτων ὄγκος, τῇ τεσσαρακοστῇ ἡμέρᾳ τῆς τοῦ
of-the moneys bulk on-the fortieth day of-the of-the
πατρὸς τελευτῆς, μνήμην αὐτῷ τελῶν, συγκαλεῖ πάντας
father death (a)-memorial for-him celebrating he-calls-together all
τοὺς ἐν τέλει καὶ τοὺς στρατιωτικὰ περιεζωσμένους καὶ τοῦ
those in office and those military(-belts) girded and of-the
πολιτικοῦ λαοῦ οὐκ ὀλίγους. Καὶ προκαθίσας, ὡς ἔθος,
civic people not few and having-sat-in-front as (was)-custom
φησὶν εἰς ἐπήκοον πάντων· «Ἰδοὺ, καθὼς ὁρᾶτε, Ἀβεννὴρ
he-says into hearing of-all behold as you-see Abenner
πατήρ μου καὶ βασιλεὺς τέθνηκεν ὡς εἷς τῶν πενήτων,
father my and king has-died as one of-the poor
καὶ οὐδὲν αὐτῷ οὔτε ὁ πλοῦτος οὔτε ἡ βασιλικὴ δόξα,
and nothing him neither the wealth nor the royal glory
οὔτε μὴν ἐγὼ ὁ φιλοπάτωρ υἱὸς, οὔτε τις τῶν λοιπῶν
nor indeed I the father-loving son nor any of-the remaining
αὐτοῦ φίλων καὶ συγγενῶν, βοηθῆσαι ἴσχυσεν αὐτῷ καὶ
his friends and kinsmen to-help was-able him and
τῆς ἀπαραιτήτου ψήφου ἐξελέσθαι. Ἀλλ' ὑπάγει πρὸς
from-the inexorable sentence to-take-out but he-goes-away to
τὰ ἐκεῖθεν δικαιωτήρια, λόγον ὑφέξων τῆς πολιτείας τοῦ
the there courts (an)-account to-give of-the way-of-life of-the

παρόντος βίου, μηδένα τῶν ἁπάντων συνεργὸν ἐπαγόμενος,
present life none of-the all helper bringing-along
ἀλλ᾽ ἢ μόνα τὰ αὐτῷ πεπραγμένα ὁποῖα ἂν ᾖ. Τὸ
but or only the(-things) by-him done whatever-sort — they-be the
αὐτὸ δὲ τοῦτο καὶ πᾶσι τοῖς τὴν βρότειον λαχοῦσι φύσιν
same and this also to-all those the mortal having-obtained nature
συμβαίνειν πέφυκε, καὶ ἄλλως οὐκ ἔστι. Νῦν οὖν ἀκούσατέ
to-happen is-wont and otherwise not it-is now then hear
μου, φίλοι καὶ ἀδελφοὶ, λαὸς Κυρίου καὶ κλῆρος ἅγιος,
me friends and brothers people of-(the)-Lord and inheritance holy
οὓς ἐξηγόρασε Χριστὸς ὁ Θεὸς ἡμῶν τῷ τιμίῳ αὐτοῦ
whom redeemed Christ — God our with-the precious his
αἵματι καὶ ἐῤῥύσατο τῆς παλαιᾶς πλάνης καὶ δουλείας
blood and rescued from-the old error and slavery
τοῦ ἀντικειμένου. Αὐτοὶ οἴδατε τὴν ἐν ὑμῖν ἀναστροφήν
of-the adversary yourselves know the among you conduct
μου, ὡς ἐξότε τὸν Χριστὸν ἔγνων καὶ δοῦλος αὐτοῦ
my how since — Christ I-knew and servant his
ἠξιώθην γενέσθαι, πάντα μισήσας, αὐτὸν ἐπεπόθησα
I-was-deemed-worthy to-become all having-hated him I-longed-for
μόνον, καὶ τοῦτό μοι ἦν καταθύμιον, τῆς ζάλης τοῦ βίου
alone and this to-me was at-heart from-the storm of-the life
καὶ ματαίας τύρβης ὑπεξελθόντα, μόνον μόνῳ αὐτῷ
and vain turmoil having-slipped-away alone with-the-alone him
συνεῖναι καὶ ἐν ἀταράχῳ γαλήνῃ ψυχῆς δουλεῦσαι τῷ Θεῷ
to-be-with and in untroubled calm of-soul to-serve — God
μου καὶ δεσπότῃ. Ἀλλά με κατέσχεν ἡ τοῦ πατρός μου
my and master but me held-back the of-the father my
ἔνστασις, καὶ ἐντολὴ ἡ τιμᾷν τοὺς γεννήτορας
opposition and (the)-commandment the(-one) to-honor the begetters
κελεύουσα. Ὅθεν, Θεοῦ χάριτι καὶ συνεργείᾳ, οὐκ εἰς μάτην

ἐκοπίασα, οὐδ' εἰς κενὸν τὰς τοιαύτας ἀνάλωσα ἡμέρας·
I-toiled nor in empty the such I-spent days
ἀλλ' ἐκεῖνόν τε ᾠκείωσα Χριστῷ καὶ πάντας ὑμᾶς τοῦτον
but him both I-made-akin to-Christ and all you this-one
μόνον γινώσκειν Θεὸν ἀληθινὸν καὶ κύριον τοῦ παντὸς
alone to-know God true and Lord of-the all
ἐδίδαξα, «οὐκ ἐγὼ τοῦτο ποιήσας, ἀλλ' ἡ χάρις αὐτοῦ
I-taught not I this having-done but the grace his
ἡ σὺν ἐμοὶ», ἥτις κἀμὲ τῆς δεισιδαίμονος πλάνης
the(-one) with me which also-me from-the superstitious error
καὶ λατρείας τῶν εἰδώλων ἐξείλετο, καὶ ὑμᾶς, λαός μου,
and worship of-the idols took-out and you people my
τῆς χαλεπῆς ἠλευθέρωσεν αἰχμαλωσίας. Καιρὸς οὖν ἤδη
from-the grievous freed captivity (the)-time then already
λοιπὸν τὰ ἐπηγγελμένα τῷ Θεῷ ἔργα πληρῶσαι· καιρὸς
henceforth the promised — to-God works to-fulfill (the)-time
ἀπελθεῖν ὅπου ἂν αὐτὸς ὁδηγήσῃ με καὶ ἀποδοῦναι τὰς
to-go-away where — he may-guide me and to-render the
εὐχάς μου ἃς ηὐξάμην αὐτῷ. Νῦν οὖν σκέψασθε ὑμεῖς
vows my which I-vowed to-him now then consider you
ὃν ἂν βούλοισθε ἀφηγεῖσθαι ὑμῶν καὶ βασιλεύειν· ἤδη
whom — you-may-wish to-lead you and to-reign already
γὰρ κατηρτισμένοι ἐστὲ εἰς τὸ θέλημα τοῦ Κυρίου, καὶ
for equipped you-are for the will of-the Lord and
οὐδὲν ἀποκέκρυπται ὑμῖν τῶν αὐτοῦ προσταγμάτων. Ἐν
nothing has-been-hidden from-you of-the his ordinances in
τούτοις πορεύεσθε· μὴ ἐκκλίνητε δεξιὰ ἢ ἀριστερά· καὶ
these walk not turn-aside right or left and
ὁ Θεὸς τῆς εἰρήνης εἴη μετὰ πάντων ὑμῶν.»
— God of-the peace may-he-be with all you

Ταῦτα ὡς ἤκουσεν ὁ λαὸς ἐκεῖνος καὶ δῆμος, θόρυβος
these(-things) when heard the people that and populace uproar
εὐθὺς καὶ πάταγος καὶ βοὴ πλείστη καὶ σύγχυσις ἦν,
at-once and clatter and shouting very-great and confusion there-was
κλαιόντων πάντων καὶ ὀδυρομένων τὴν ὀρφανίαν. Τοιαῦτα
weeping all and lamenting the orphanhood such-things
θρηνοῦντες, πρὸς τοῖς θρήνοις καὶ ὅρκοις ἐβεβαίουν μὴ
lamenting besides the laments also with-oaths they-confirmed not
μεθήσειν ὅλως, ἀλλ᾽ ἀνθέξεσθαι, καὶ τὴν ὑποχώρησιν αὐτῷ
to-let-go at-all but to-hold-on and the withdrawal to-him
μὴ τοπαράπαν παραχωρῆσαι. Οὕτω βοῶντος τοῦ δήμου
not at-all to-yield thus shouting the populace
καὶ τῶν ἐν τέλει πάντων, ὑπολαβὼν ὁ βασιλεὺς κατασείει
and those in office all having-answered the king waves-down
τὸν ὄχλον, καὶ σιγᾷν αὐτοῖς διακελεύεται. Καὶ εἴκειν τῇ
the crowd and to-be-silent them orders and to-yield to-the
ἐκείνων ἐνστάσει εἰπὼν, λυπουμένους ὅμως καὶ τὰ τῆς
their insistence having-said grieving nevertheless and the of-the
οἰμωγῆς σημεῖα ἐπὶ τῶν παρειῶν φέροντας οἴκαδε ἐκπέμπει.
wailing signs on the cheeks bearing homeward sends-away
Αὐτὸς δὲ ἕνα τῶν ἀρχόντων, ὃς ἦν πρόκριτος αὐτῷ,
he and one of-the rulers who was chosen by-him
ἐπ᾽ εὐσεβείᾳ καὶ σεμνότητι βίου θαυμαζόμενος, Βαραχίας
for godliness and dignity of-life admired Barachias
τοὔνομα (ὅνπερ καὶ ἀνωτέρω ἐδήλωσεν ὁ λόγος, ἡνίκα
by-name whom-indeed also above made-clear the story when
Ναχὼρ τὸν Βαρλαὰμ ὑποκρινόμενος τοῖς φιλοσόφοις
Nachor — Barlaam playing-the-part to-the philosophers
διελέγετο, καὶ μόνος ὁ Βαραχίας ἡτοιμάσθη συμπαραστῆναι
discoursed and alone — Barachias was-ready to-stand-by
αὐτῷ καὶ συναγωνίσασθαι ζήλῳ θείῳ ἐκκαυθεὶς τὴν
him and to-contend-with(-him) with-zeal divine inflamed in-the

καρδίαν)· τοῦτον καταμόνας λαβὼν ὁ βασιλεὺς,
heart this-one alone having-taken the king
προσηνῶς διελέγετο, καὶ θερμότατα ἐδεῖτο παραλαβεῖν τὴν
gently discoursed and most-fervently begged to-take-over the
βασιλείαν, καὶ ἐν φόβῳ Θεοῦ τὸν λαὸν αὐτοῦ ποιμᾶναι,
kingdom and in fear of-God the people his to-shepherd
ὡς ἂν αὐτὸς τὴν ποθουμένην αὐτῷ πορεύσηται ὁδόν. Ὡς
so-that — he the longed-for by-him might-travel road when
δὲ αὐτὸν ἀπαναινόμενον εἶδε καὶ πάντη ἀπαγορεύοντα,
and him refusing he-saw and wholly declining
καὶ «Ὦ βασιλεῦ», λέγοντα, «ὡς ἄδικός σου ἡ κρίσις!
and O king saying how unjust your the judgment
ὡς οὐ κατ᾽ ἐντολήν σου ὁ λόγος! εἰ γὰρ ἀγαπῆσαι
how not according-to commandment your the word if for to-love
τὸν πλησίον ὡς ἑαυτὸν ἐδιδάχθης, τίνι λόγῳ ὅπερ
the neighbor as yourself you-were-taught by-what reason which-very
αὐτὸς ἀποῤῥίψαι βάρος σπουδάζεις, ἐμοὶ ἐπιθεῖναι ἐπείγῃ;
yourself to-cast-off burden are-eager on-me to-place do-you-press
εἰ μὲν γὰρ καλὸν τὸ βασιλεύειν, αὐτὸς τὸ καλὸν κάτεχε·
if indeed for good the to-reign yourself the good keep
εἰ δὲ πρόσκομμα τοῦτο ψυχῆς καὶ σκάνδαλον, τί μοι
if and stumbling-block this of-soul and offense why to-me
προτίθης καὶ ὑποσκελίζειν βούλει;» Ὡς οὖν τοιαῦτα
do-you-set-before and to-trip-up do-you-wish when then such-things
λέγοντα καὶ διαβεβαιούμενον εἶδεν, ἐπαύσατο τῆς ὁμιλίας.
saying and affirming he-saw he-ceased from-the conversation
Καὶ δὴ ὑπὸ νύκτα βαθεῖαν ἐπιστολὴν μὲν διαχαράττει
and indeed at night deep (a)-letter indeed he-writes
πρὸς τὸν λαὸν, πολλῆς γέμουσαν φιλοσοφίας καὶ πᾶσαν
to the people of-much full philosophy and all
ὑπαγορεύουσαν τὴν εὐσέβειαν, ὁποίαν τε ὀφείλουσι περὶ
dictating the godliness what-sort both they-ought about

Θεοῦ δόξαν ἔχειν, οἷον δὲ βίον αὐτῷ προσφέρειν, οἵους
God opinion to-have what-sort and life to-him to-offer what-sort
δὲ ὕμνους, οἵας εὐχαριστίας· εἶτα μὴ ἄλλον ἢ τὸν
and hymns what-sort thanksgivings then not other than —
Βαραχίαν δέξασθαι εἰς τὴν βασίλειον κελεύει ἀρχήν. Καὶ,
Barachias to-receive into the royal he-orders rule and
εἰς τὸν ἑαυτοῦ κοιτῶνα τὸν χάρτην ἐν ᾧ ἡ ἐπιστολὴ
in the his-own bedchamber the paper in which the letter(-was)
καταλιπὼν, λαθὼν ἅπαντας ἐξέρχεται τοῦ παλατίου.
having-left escaping-the-notice-of all goes-out of-the palace
Ἀλλ' οὐκ ἠδυνήθη λαθεῖν εἰς τέλος. Ἅμα γὰρ πρωΐ
but not he-was-able to-escape-notice to (the)-end with for dawn
τοῦτο ἀκουσθὲν τάραχον εὐθὺς καὶ ὀδυρμὸν τῷ λαῷ
this having-been-heard tumult at-once and lamentation in-the people
ἐνεποίησε· καὶ πάντες τάχει πολλῷ εἰς ζήτησιν αὐτοῦ
produced and all with-speed much into search his
ἐξέρχονται, προκαταλαβεῖν αὐτῷ τὴν φυγὴν ἐκ παντὸς
go-out to-forestall his the flight by every
τρόπου διανοούμενοι· ὅθεν οὐδὲ εἰς μάτην αὐτοῖς ἐχώρησεν
way intending whence not-even in vain for-them went
ἡ σπουδή. Ὡς γὰρ πάσας προκατελάμβανον τὰς ὁδοὺς,
the zeal when for all they-were-seizing-first the roads
ὄρη δὲ πάντα περιεκύκλουν καὶ ἀτριβεῖς περιήρχοντο
mountains and all they-were-encircling and untrodden went-around
φάραγγας, ἐν χειμάῤῥῳ τινὶ τοῦτον εὑρίσκουσι, χεῖρας εἰς
ravines in (a)-torrent-bed some this-one they-find hands to
οὐρανὸν ἐκτεταμένας ἔχοντα, καὶ τὴν εὐχὴν τῆς ἕκτης
heaven stretched-out having and the prayer of-the sixth
ἐπιτελοῦντα ὥρας. Ἰδόντες δὲ αὐτὸν περιεχύθησαν
completing hour having-seen and him they-poured-round(-him)
δάκρυσι δυσωποῦντες καὶ τὴν ἀποδημίαν ὀνειδίζοντες. Ὁ
with-tears entreating and the departure reproaching he

δέ «Τί» φησί, «μάτην κοπιᾶτε; μηκέτι γὰρ ἐμὲ βασιλέα
and why he-says in-vain do-you-toil no-longer for me (as)-king
ἔχειν ἐλπίζετε.»
to-have hope
Τῇ πολλῇ δὲ αὐτῶν ὑπενδοὺς ἐνστάσει, ὑποστρέφει αὖθις
to-the great and their yielding insistence he-returns again
εἰς τὸ παλάτιον. Καὶ, συναγαγὼν ἅπαντας, τὴν ἑαυτοῦ
into the palace and having-gathered all the his-own
ἐφανέρωσε βουλήν. Εἶτα καὶ ὅρκοις ἐμπεδοῖ τὸν λόγον, ὡς
he-made-known counsel then also with-oaths confirms the word that
οὐδεμίαν αὐτοῖς τοῦ λοιποῦ συνέσται ἡμέραν. «Ἐγὼ γάρ»,
no with-them of-the rest he-will-be day I for
φησί, «τὴν πρὸς ὑμᾶς διακονίαν μου ἐπληροφόρησα καὶ
he-says the toward you ministry my have-fulfilled and
οὐδὲν ἐνέλιπον, «οὐδὲ ὑπεστειλάμην τῶν συμφερόντων, τοῦ
nothing I-left-out nor held-back of-the profitable(-things) of-the
μὴ ἀναγγεῖλαι ὑμῖν καὶ διδάξαι, διαμαρτυρόμενος πᾶσι τὴν
not to-declare to-you and to-teach testifying to-all the
εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πίστιν», καὶ μετανοίας
in the Lord our Jesus Christ faith and of-repentance
ὁδοὺς ὑποδεικνύων. «Καὶ νῦν ἰδοὺ ἐγὼ πορεύομαι» τὴν ὁδὸν
ways showing and now behold I go the road
ἣν ἔκπαλαι ἐπόθουν· καὶ «οὐκ ἔτι ὄψεσθε τὸ πρόσωπόν
which long-ago I-longed-for and no longer will-see the face
μου ὑμεῖς πάντες. Διὸ μαρτύρομαι ὑμῖν τῇ σήμερον
my you all wherefore I-testify to-you on-the today
ἡμέρᾳ», κατὰ τὸν θεῖον Ἀπόστολον, «ὅτι καθαρὸς ἐγώ
day according-to the divine Apostle that clean I
εἰμι ἀπὸ τοῦ αἵματος πάντων ὑμῶν. Οὐ γὰρ ὑπεστειλάμην
am from the blood of-all you not for I-held-back
τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ.»
of-the not to-declare to-you all the counsel — of-God

Ταῦτα ἀκούσαντες, καὶ τὸ τῆς γνώμης αὐτοῦ στερρόν
these(-things) having-heard and the of-the mind his firmness
ἐπιστάμενοι ὡς οὐδὲν τῆς προθέσεως κωλῦσαι δύναται,
understanding that nothing the purpose to-hinder can
ὠδύροντο μὲν τὴν ὀρφανίαν, οὐκ εἶχον δὲ ὅλως αὐτὸν
they-lamented indeed the orphanhood not they-had and at-all him
πειθόμενον.
obeying

XIX · THE CHARGE TO BARACHIAS

Ioasaph crowns the unwilling Barachias, prays for him, and charges him in the Apostle's words: a helmsman's error sinks the whole ship, so the king must keep God's commandments, stand firm as fortune turns, remember that he is mortal, be merciful, forgive as he would be forgiven, and keep the faith pure of heresy. He kneels, prays, and kisses Barachias and the officials. The people mourn him as father and savior and follow him from the city until his rebuke sends them back. He leaves in his usual clothes with Barlaam's hair shirt beneath; that night he gives his clothes to a poor man and goes into the desert with no bread or water, wounded by divine love and crying with the psalmist and the Song of Songs.

Τότε ὁ βασιλεὺς τὸν Βαραχίαν ἐκεῖνον, ὃν καὶ φθάσας
then the king — Barachias that whom also anticipating
ὁ λόγος ἐδήλωσε, κατασχὼν, «Τοῦτον» εἶπεν, «ἀδελφοὶ,
the story made-clear having-held-fast this-one he-said brothers
ὑμῖν προχειρίζομαι βασιλέα.» Τοῦ δὲ ἰσχυρῶς πρὸς τὸ
for-you I-appoint king he and strongly to the
πρᾶγμα ἀπειθοῦντος, ἄκοντα καὶ μὴ βουλόμενον τῇ
matter disobeying unwilling and not wishing in-the
βασιλικῇ ἀρχῇ ἐγκαθίστησι, καὶ τῇ κεφαλῇ αὐτοῦ τὸ
royal rule he-installs and on-the head his the
διάδημα περιτίθησι, τὸν βασιλικόν τε δακτύλιον δίδωσιν
diadem places the royal and ring gives

εἰς τὴν χεῖρα. Καὶ, στὰς κατὰ ἀνατολὰς, ηὔξατο εὐχὴν
into the hand and having-stood toward (the)-east he-prayed (a)-prayer
τῷ βασιλεῖ Βαραχίᾳ· ἀπερίτρεπτον αὐτῷ τὴν εἰς Θεὸν
for-the king Barachias unturnable for-him the toward God
φυλαχθῆναι πίστιν καὶ ἀκλινῆ τὴν κατὰ τὰς ἐντολὰς
to-be-kept faith and unswerving the according-to the commandments
τοῦ Χριστοῦ εὑρεῖν πορείαν. Σὺν τούτῳ δὲ ὑπερηύχετο
— of-Christ to-find course with this and he-prayed-for
τοῦ κλήρου καὶ τοῦ ποιμνίου παντὸς, αἰτούμενος ἀντίληψιν
the clergy and the flock all asking help
αὐτοῖς παρὰ Κυρίου καὶ σωτηρίαν, καὶ πᾶν ὅτιπερ ἂν
for-them from (the)-Lord and salvation and all whatever —
αὐτοῖς εἰς αἴτησιν ᾖ πρὸς τὸ συμφέρον οἰκονομούμενον.
to-them for asking be toward the profitable arranged
Οὕτως εὐξάμενος ἐπιστραφεὶς λέγει τῷ Βαραχίᾳ· «Ἰδού
thus having-prayed having-turned he-says — to-Barachias behold
σοι, ἀδελφὲ, ἐντέλλομαι καθὼς ποτὲ ὁ Ἀπόστολος
to-you brother I-command as once the Apostle
διεμαρτύρατο. Πρόσεχε σεαυτῷ καὶ παντὶ τῷ ποιμνίῳ, ἐν
testified take-heed to-yourself and to-all the flock in
ᾧ σε τὸ Πνεῦμα τὸ Ἅγιον ἔθετο βασιλέα, ποιμαίνειν τὸν
which you the Spirit the holy set (as)-king to-shepherd the
λαὸν τοῦ Κυρίου ὃν περιεποιήσατο διὰ τοῦ αἵματος τοῦ
people of-the Lord which he-acquired through the blood the
ἰδίου. Καὶ καθὼς πρὸ ἐμοῦ ἔγνως τὸν Θεὸν καὶ ἐλάτρευσας
own and as before me you-knew — God and served
αὐτῷ ἐν καθαρῷ συνειδότι, οὕτω καὶ νῦν πλείονα σπουδὴν
him in clean conscience thus also now more zeal
ἐνδείκνυσο εὐαρεστῆσαι αὐτῷ. Ὡς γὰρ καὶ μεγάλης
show to-please him as for also great
ἠξιώθης παρὰ τοῦ Θεοῦ ἀρχῆς, τοσούτῳ μείζονος
you-were-deemed-worthy from — God rule so-much greater

ἀμοιβῆς ὀφειλέτης ὑπάρχεις. Οὐκοῦν ἀπόδος τῷ εὐεργέτῃ
return debtor you-are therefore render to-the benefactor
τὸ χρέος τῆς εὐχαριστίας, τὰς ἁγίας αὐτοῦ φυλάσσων
the debt of-the thanksgiving the holy his keeping
ἐντολὰς καὶ πάσης ἐκκλίνων ὁδοῦ εἰς ἀπώλειαν φερούσης.
commandments and every turning-from road to destruction leading
Ὥσπερ γὰρ ἐπὶ τῶν πλεόντων, ὅταν μὲν ναύτης
as for in-the-case-of those sailing when indeed (a)-sailor
σφαλῇ, μικρὰν φέρει τοῖς πλέουσι βλάβην, ὅταν δὲ ὁ
errs small brings to-those sailing harm when but the
κυβερνήτης, παντὸς ἐργάζεται τοῦ πλοίου ἀπώλειαν· οὕτω
helmsman whole works of-the ship destruction thus
καὶ ἐν βασιλείοις, ἂν μέν τις τῶν ἀρχομένων ἁμάρτῃ, οὐ
also in kingdoms if indeed any of-the ruled sins not
τοσοῦτον τὸ κοινὸν ὅσον ἑαυτὸν ἀδικεῖ, ἂν δὲ αὐτὸς
so-much the commonwealth as himself wrongs if but himself
ὁ βασιλεὺς, πάσης ἐργάζεται τῆς πολιτείας βλάβην.»
the king whole works of-the state harm
«Ὡς μεγάλας οὖν ὑφέξων εὐθύνας, εἴ τι παρίδοις τῶν
as great then to-render accounts if anything you-should-overlook of-the
δεόντων, μετὰ πολλῆς ἀκριβείας φύλαττε σεαυτὸν ἐν τῷ
needful(-things) with much exactness guard yourself in the
ἀγαθῷ. Μίσησον πᾶσαν ἡδονὴν πρὸς ἁμαρτίαν ἕλκουσαν·
good hate every pleasure toward sin drawing
φησὶ γὰρ ὁ Ἀπόστολος· «Εἰρήνην διώκετε μετὰ πάντων,
says for the Apostle peace pursue with all
καὶ τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον.»
and the sanctification of-which without no-one will-see the Lord
«Τὸν κύκλον πρόσεχε, ὅστις περιτρέχει τῶν ἀνθρωπίνων
the circle heed which runs-round of-the human
πραγμάτων, ἄλλοτε ἄλλως φέρων αὐτὰ καὶ περιφέρων·
affairs at-different-times differently bearing them and carrying-round

καὶ ἐν τῇ τούτων ἀγχιστρόφῳ μεταβολῇ ἀμετάβλητον
and in the their quick-turning change unchangeable
ἔχε τὸν εὐσεβῆ λογισμόν. Τὸ γὰρ συμμεταβάλλεσθαι ταῖς
have the godly reasoning the for to-change-with the
τῶν πραγμάτων μεταβολαῖς, διανοίας ἀβεβαίου τεκμήριον.
of-the affairs changes of-mind unstable (is)-(a)-proof
Σὺ δὲ πάγιος ἔσο, ἐν τῷ ἀγαθῷ ὅλως ἐρηρεισμένος.»
you but firm be in the good wholly established
«Μὴ ἐπαίρου διὰ τῆς προσκαίρου δόξης πρὸς μάταιον
not be-lifted-up through the temporary glory to vain
φύσημα· ἀλλὰ κεκαθαρμένῳ λογισμῷ τὸ οὐτιδανὸν τῆς
puffing but with-cleansed reasoning the worthlessness of-the
ἑαυτοῦ νόει φύσεως, τὸ βραχύ τε καὶ ὠκύμορον
your-own consider nature the brevity both and short-lived(-ness)
τῆς ἐνταῦθα ζωῆς καὶ τὸν συνεζευγμένον τῇ σαρκὶ
of-the here life and the yoked to-the flesh
θάνατον. Καὶ ταῦτα λογιζόμενος εἰς τὸν τῆς ὑπεροψίας
death and these(-things) reckoning into the of-the arrogance
οὐ βληθήσῃ βόθρον, ἀλλὰ φοβηθήσῃ τὸν Θεὸν, τὸν
not you-will-be-thrown pit but you-will-fear — God the
ἀληθινὸν καὶ ἐπουράνιον βασιλέα, καὶ ὄντως μακάριος
true and heavenly king and truly blessed
ἔσῃ. «Μακάριοι» γάρ φησι, «πάντες οἱ φοβούμενοι
you-will-be blessed for he-says all those fearing
τὸν Κύριον, οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ»· καί·
the Lord those walking in the ways his and
«Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον· ἐν ταῖς
blessed (the)-man the(-one) fearing the Lord in the
ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.»
commandments his he-will-delight exceedingly

«Ποίας δὲ πρὸ πάντων ὀφείλεις τηρεῖν ἐντολάς;
what-sort and before all ought-you to-keep commandments
«Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται»· καί·
blessed the merciful for they will-obtain-mercy and
«Γίνεσθε οἰκτίρμονες, ὡς ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος
be compassionate as the father your the heavenly
οἰκτίρμων ἐστί.» Ταύτην γὰρ τὴν ἐντολὴν πρὸ πάντων
compassionate is this for the commandment before all
ἀπαιτοῦνται οἱ ἐν μεγίστῃ ὄντες ἀρχῇ. Καὶ ἀληθῶς ὁ
are-required-of those in greatest being rule and truly the(-one)
μεγάλης ἐξουσίας ἐπιλαβόμενος τὸν δοτῆρα τῆς ἐξουσίας
great authority having-obtained the giver of-the authority
ὀφείλει μιμεῖσθαι κατὰ δύναμιν· ἐν τούτῳ δὲ μάλιστα
ought to-imitate according-to power in this and most-of-all
τὸν Θεὸν μιμήσεται, ἐν τῷ μηδὲν ἡγεῖσθαι τοῦ ἐλεεῖν
— God he-will-imitate in the nothing to-consider than-the to-show-mercy
προτιμότερον. Ἀλλὰ καὶ τὸ ὑπήκοον οὐδὲν οὕτως εἰς εὔνοιαν
more-precious but also the subject nothing so to goodwill
ἐφέλκεται, ὡς εὐποιΐας χάρις διδομένη τοῖς χρῄζουσιν· ἡ
draws as of-beneficence favor given to-those needing the
γὰρ διὰ φόβον γινομένη θεραπεία, κατεσχηματισμένη
for because-of fear coming-about service disguised
ἐστὶ θωπεία, πεπλασμένῳ τιμῆς ὀνόματι φενακίζουσα
is flattery with-feigned of-honor name deceiving
τοὺς αὐτῇ προσέχοντας· καὶ τὸ ἀκουσίως ὑποτεταγμένον
those to-it attending and the unwillingly subjected
στασιάζει καιροῦ λαβόμενον· τὸ δὲ τοῖς δεσμοῖς τῆς
rebels (an)-occasion having-seized the(-thing) but by-the bonds of-the
εὐνοίας κρατούμενον βεβαίαν ἔχει πρὸς τὸ κρατοῦν τὴν
goodwill held firm has toward the ruling(-power) the
εὐπείθειαν. Διὸ εὐπρόσιτος ἔσο τοῖς δεομένοις, καὶ ἄνοιγε
obedience wherefore approachable be to-those asking and open

τὰ ὦτα τοῖς πενομένοις, ἵνα εὕρῃς τὴν τοῦ Θεοῦ ἀκοὴν
the ears to-those being-poor that you-may-find the — of-God hearing
ἀνεῳγμένην· οἷοι γὰρ τοῖς ἡμετέροις γινόμεθα συνδούλοις,
opened such for to-the our we-become fellow-servants
τοιοῦτον περὶ ἡμᾶς εὑρήσομεν τὸν δεσπότην, καὶ ὡς
such toward us we-will-find the master and as
ἀκούομεν ἀκουσθησόμεθα, ὡς ὁρῶμεν ὁραθησόμεθα ὑπὸ τοῦ
we-hear we-will-be-heard as we-see we-will-be-seen by the
θείου καὶ παντεφόρου βλέμματος. Προεισενέγκωμεν οὖν τοῦ
divine and all-seeing gaze let-us-bring-in-first then of-the
ἐλέου τὸν ἔλεον, ἵνα τῷ ὁμοίῳ τὸ ὅμοιον ἀντιλάβωμεν.»
mercy the mercy that by-the like the like we-may-receive-in-return
«Ἀλλὰ καὶ ἑτέραν ἄκουε ἐντολὴν σύζυγον τῆς προτέρας.
but also another hear commandment yoke-fellow of-the former
Ἄφετε καὶ ἀφεθήσεται ὑμῖν· καὶ, «ἐὰν οὐκ ἀφῆτε τοῖς
forgive and it-will-be-forgiven to-you and if not you-forgive to-the
ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὑμῖν ἀφήσει ὁ
men the trespasses their neither to-you will-forgive the
πατὴρ ὑμῶν ὁ οὐράνιος τὰ παραπτώματα ὑμῶν.» Διὸ
father your the heavenly the trespasses your wherefore
μὴ μνησικακήσῃς τοῖς πταίουσιν· ἀλλὰ, συγγνώμην
not bear-a-grudge against-those stumbling but pardon
αἰτούμενος ἁμαρτημάτων, συγγίνωσκε καὶ αὐτὸς τοῖς
asking of-sins pardon also yourself those
εἰς σὲ πλημμελοῦσιν, ὅτι ἀφέσει ἀντιδίδοται ἄφεσις,
against you offending for to-forgiveness is-given-in-return forgiveness
καὶ τῇ πρὸς τοὺς ὁμοδούλους ἡμῶν καταλλαγῇ τῆς
and by-the toward the fellow-servants our reconciliation from-the
δεσποτικῆς ὀργῆς γίνεται ἀπαλλαγή. Καὶ αὖθις τὸ
Lord's wrath comes-about release and again the
ἀσυμπαθὲς ἡμῶν πρὸς τοὺς πταίοντας ἀσύγγνωστα ποιεῖ
unfeelingness our toward those stumbling unpardonable makes

ἡμῖν τὰ ἡμέτερα πταίσματα· καθάπερ ἀκούεις τί ὁ τῶν
to-us the our stumblings as you-hear what the of-the
μυρίων πέπονθεν ὀφειλέτης ταλάντων, τῇ πρὸς τὸν
ten-thousand suffered debtor talents by-the toward the
σύνδουλον ἀσπλαγχνίᾳ ἑαυτῷ τὴν εἴσπραξιν ἀνανεώσας
fellow-servant mercilessness on-himself the exaction having-renewed
τοῦ τοσούτου χρέους. Διὸ προσεκτέον ἀκριβῶς, μὴ καὶ
of-the so-great debt wherefore one-must-take-heed exactly lest also
ἡμεῖς τὰ ὅμοια πάθοιμεν· ἀλλ᾽ ἀφήσωμεν πᾶσαν ὀφειλὴν,
we the like should-suffer but let-us-forgive every debt
καὶ πᾶσαν μῆνιν ἐκ καρδίας ἐκβάλλωμεν, ἵνα καὶ ἡμῖν
and every wrath from (the)-heart let-us-cast-out that also to-us
ἀφεθῇ τὰ πολλὰ ἡμῶν ὀφλήματα.»
may-be-forgiven the many our debts
«Ἐπὶ πᾶσι δὲ καὶ πρὸ πάντων τὴν καλὴν φύλαττε
over all and also before all the good guard
παρακαταθήκην, τὸν εὐσεβῆ τῆς πίστεως λόγον, ὃν
deposit the godly of-the faith word which
ἔμαθες καὶ ἐδιδάχθης. Καὶ πᾶν ζιζάνιον αἱρέσεως μὴ
you-learned and were-taught and every tare of-heresy not
ἐκφυέσθω ἐν ὑμῖν· ἀλλὰ καθαρὸν καὶ ἄδολον τὸν θεῖον
let-grow-up among you but pure and guileless the divine
διατήρησον σπόρον, ἵνα πολύχουν τὸν καρπὸν ὑποδείξῃς
keep seed that abundant the fruit you-may-show
τῷ δεσπότῃ, ἡνίκα ἔλθῃ λόγον ἀπαιτῶν ἑκάστῳ τῶν
to-the master when he-comes account demanding of-each of-the(-things)
βεβιωμένων καὶ ἀποδιδοὺς καθὰ ἐπράξαμεν, ὅταν οἱ
lived and rendering according-as we-did when the
μὲν δίκαιοι λάμψωσιν ὡς ὁ ἥλιος, τοὺς ἁμαρτωλοὺς δὲ
indeed righteous shine as the sun the sinners and
τὸ σκότος καλύψῃ καὶ αἰσχύνη αἰώνιος. «Καὶ τὰ
the darkness covers and shame eternal and the(-things)

νῦν, ἀδελφοὶ, παρατίθεμαι ὑμᾶς τῷ Θεῷ, καὶ τῷ Λόγῳ
now brothers I-commit you — to-God and to-the Word
τῆς χάριτος αὐτοῦ, τῷ δυναμένῳ ὑμᾶς ἐποικοδομῆσαι
of-the grace his the(-one) being-able you to-build-up
καὶ δοῦναι ὑμῖν κληρονομίαν ἐν τοῖς ἡγιασμένοις πᾶσι.»
and to-give you inheritance among the sanctified all
«Καὶ ταῦτα εἰπὼν, θεὶς τὰ γόνατα αὐτοῦ», καθὼς
and these(-things) having-said having-set the knees his as
γέγραπται, μετὰ δακρύων αὖθις «προσηύξατο». Καὶ
it-is-written with tears again he-prayed and
ἐπιστραφεὶς κατεφίλησε τὸν Βαραχίαν ὃν βασιλέα
having-turned he-kissed — Barachias whom king
προεχειρίσατο, καὶ πάντας τοὺς ἐν τέλει.
he-had-appointed and all those in office
Τότε δὴ γίνεται πρᾶγμα δακρύων ὡς ἀληθῶς ἄξιον.
then indeed comes-about (a)-thing of-tears as truly worthy
Περιστάντες γὰρ αὐτὸν ἅπαντες, ὥσπερ τῷ ἐκείνῳ
having-stood-round for him all as-if in-the him
συνεῖναι ζῶντες καὶ τῇ διαιρέσει μέλλοντες συναφαιρεῖσθαι
to-be-with living and by-the separation about to-be-taken-away-with
καὶ τὰς ψυχὰς, τί μὴ πρὸς οἶκτον ἔλεγον; ποίαν θρήνων
also the souls what not to pity did-they-say what-sort of-laments
ὑπερβολὴν ἀπελίμπανον; κατεφίλουν αὐτὸν, περιέβαλλον·
excess did-they-leave-out they-kissed him embraced
παραφρονεῖν αὐτοὺς ἐποίει τὸ πάθος. «Οὐαὶ ἡμῖν»
to-be-out-of-their-mind them made the passion woe to-us
ἐβόων, «τῆς χαλεπῆς ταύτης δυστυχίας!» Δεσπότην αὐτὸν
they-cried of-the grievous this misfortune master him
ἀνεκαλοῦντο, πατέρα, σωτῆρα, εὐεργέτην. «Διὰ σοῦ» φησί,
they-called father savior benefactor through you he-says
«τὸν Θεὸν ἔγνωμεν· τῆς πλάνης λελυτρώμεθα· τῶν
— God we-knew from-the error we-have-been-redeemed from-the

κακῶν πάντων ἀνάπαυσιν εὕρομεν. Τί λοιπὸν ἔσται ἡμῖν
evils all rest we-found what henceforth will-be for-us
μετὰ τὸν σὸν χωρισμόν; ποῖα οὐ καταλήψεται κακά;»
after the your separation what-sort not will-overtake(-us) evils
Τοιαῦτα λέγοντες, τὰ στήθη ἔπαιον, καὶ τὴν κατασχοῦσαν
such-things saying the breasts they-beat and the having-seized
αὐτοὺς ἀνωλοφύροντο συμφοράν.
them they-bewailed calamity
Ὁ δὲ λόγοις αὐτοὺς παρακλήσεως τῶν πολλῶν
he and with-words them of-consolation from-the many
κατασιγήσας οἰμωγῶν, καὶ συνεῖναι τῷ πνεύματι
having-silenced wailings and to-be-with(-them) in-the spirit
ἐπαγγειλάμενος, ὡς τῷ γε σώματι ἀδύνατον ἤδη τοῦτο
having-promised since in-the at-least body impossible now this
γενέσθαι, τοιαῦτα εἰπὼν, πάντων ὁρώντων ἐξέρχεται τοῦ
to-come-about such-things having-said all seeing goes-out of-the
παλατίου. Καὶ εὐθὺς πάντες συνείποντο· τὴν ὑποστροφὴν
palace and at-once all followed the return
ἀπηγόρευον· τὴν πόλιν, ὡς μηκέτι δυνατὸν ὄμμασιν ὀφθῆναι
refused the city as no-longer possible with-eyes to-be-seen
τοῖς ἑαυτῶν, ἀπεδίδρασκον. Ὡς δὲ τῆς πόλεως ἔξω
the their-own they-fled when and the city outside
γεγόνασι, μόλις ποτὲ, τῇ τομῇ τοῦ λόγου παραινοῦντος
they-had-come hardly at-last by-the sharpness of-the word exhorting
αὐτοῦ καὶ δριμυτέραν που τὴν ἐπιτίμησιν ἐπιφέροντος,
him and harsher somewhat the rebuke bringing
ἀπ᾽ αὐτοῦ διερράγησαν, καὶ ἄκοντες ἐπανήρχοντο, πυκνῶς
from him they-tore-themselves and unwilling returned often
αὐτοῖς τῶν ὀφθαλμῶν ἐπιστρεφομένων, καὶ τὴν πορείαν
for-them the eyes turning and the going
τοῖς ποσὶν ἐγκοπτόντων. Τινὲς δὲ τῶν θερμοτέρων
the feet cutting-short some and of-the warmer

καὶ ὀδυρόμενοι μακρόθεν ἠκολούθουν αὐτῷ, ἕως ἡ νὺξ
and lamenting from-afar followed him until the night
ἐπελθοῦσα διέστησεν αὐτοὺς ἀπ᾽ ἀλλήλων.
having-come-on separated them from one-another
Ἐξῆλθεν οὖν τῶν βασιλείων ὁ γενναῖος ἐκεῖνος χαίρων,
went-out then from-the palace the noble that rejoicing
ὡς ὅταν ἐκ μακρᾶς ἐξορίας εἰς τὴν ἰδίαν τις
as when from long exile into the own(-land) someone
ἐπανερχόμενος γηθοσύνως πορεύοιτο. Καὶ ἦν ἐνδεδυμένος,
returning gladly might-travel and he-was clothed
ἔξωθεν μὲν τὰ ἐξ ἔθους ἱμάτια, ἔσωθεν δὲ τὸ τρίχινον
outside indeed the from custom garments inside and the hairy
ῥάκος ἐκεῖνο ὅπερ ὁ Βαρλαὰμ αὐτῷ δεδώκει. Τῇ δὲ
rag that which-very — Barlaam to-him had-given on-the and
νυκτὶ ἐκείνῃ εἰς οἰκίσκον πένητός τινος καταντήσας,
night that into (a)-cottage of-poor some(-man) having-arrived
τὰ περικείμενα αὐτῷ ἄμφια ἐκβαλὼν, τελευταίαν ταύτην
the lying-around him garments having-cast-off last this
εὐποιΐαν τῷ πένητι δίδωσι· καὶ οὕτω ταῖς ἐκείνου τε καὶ
beneficence to-the poor(-man) gives and thus by-the of-that(-one) both and
πολλῶν ἑτέρων πενήτων εὐχαῖς ἐπίκουρον ἑαυτοῦ τὸν Θεὸν
of-many other poor prayers helper of-himself — God
θέμενος, καὶ τὴν αὐτοῦ χάριν καὶ βοήθειαν ὡς ἱμάτιον
having-made and the his grace and help as (a)-garment
σωτηρίου καὶ χιτῶνα εὐφροσύνης ἑαυτῷ περιβαλλόμενος,
of-salvation and (a)-tunic of-gladness on-himself putting-on
ἐπὶ τὸν ἐρημικὸν ἐξῆλθε βίον, μὴ ἄρτον ἐπιφερόμενος, μὴ
to the hermit's went-out life not bread bringing not
ὕδωρ, μηδ᾽ ἄλλο τι τῶν πρὸς τροφὴν ἐπιτηδείων,
water nor other anything of-the(-things) for food suitable
μὴ ἱμάτιον ἐνδεδυμένος, ἀλλ᾽ ἢ τὸ σκληρὸν ἐκεῖνο ῥάκος
not (a)-garment clothed but — the harsh that rag

μόνον, οὗπερ πρὸ μικροῦ ἐμνήσθημεν. Πόθῳ γάρ τινι
alone which-very before little(-while) we-mentioned with-longing for some
ὑπερφυεῖ καὶ ἔρωτι θείῳ τρωθεὶς τὴν ψυχὴν τοῦ ἀθανάτου
extraordinary and with-love divine wounded the soul of-the immortal
βασιλέως Χριστοῦ, ὅλως ἦν τοῦ ποθουμένου ἐξεστηκὼς,
king Christ wholly he-was by-the longed-for beside-himself
ὅλως ἠλλοιωμένος Θεῷ, κάτοχος τῇ τούτου ἀγάπῃ·
wholly changed by-God possessed by-the of-this(-one) love
«κραταιὰ» γὰρ, φησίν, «ὡς πῦρ ἀγάπη»· τοιαύτην αὐτὸς
strong for he-says as fire (is)-love such he
ἀπὸ τῆς θείας ἀγάπης ἐδέξατο μέθην, καὶ οὕτως ἐξεκαύθη
from the divine love received drunkenness and thus was-inflamed
τῷ δίψει, κατὰ τὸν εἰπόντα· «Ὃν τρόπον ἐπιποθεῖ
with-the thirst according-to the(-one) having-said in-which way longs
ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ
the hart for the springs of-the waters thus longs
ἡ ψυχή μου πρὸς σὲ, ὁ Θεός· ἐδίψησεν ἡ ψυχή μου
the soul my for you O God thirsted the soul my
πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν, τὸν ζῶντα»· καὶ καθὼς ἡ
for — God the mighty the living and as the
τετρωμένη τῆς τοιαύτης ἀγάπης ψυχὴ βοᾷ ἐν τῷ Ἄσματι
wounded of-the such love soul cries in the Song
τῶν ᾀσμάτων· «Ἐκαρδίωσας ἡμᾶς τῷ πόθῳ σου,
of-the Songs you-have-ravished-the-heart-of us with-the longing your
ἐκαρδίωσας ἡμᾶς»· καί, «Δεῖξόν μοι τὴν ὄψιν σου
you-have-ravished-the-heart-of us and show me the face your
καὶ ἀκούτισόν μοι τὴν φωνήν σου· ἡ γὰρ φωνή σου
and make-hear me the voice your the for voice your
φωνὴ ἡδεῖα καὶ ἡ ὄψις σου ὡραία.»
(a)-voice sweet and the face your beautiful

Like the apostles and martyrs, Ioasaph leaves everything for love of Christ and prays to be shown Barlaam. He eats herbs and suffers terrible thirst, but his longing conquers nature. The Devil raises temptations: the memory of his glory and friends, the hardness of virtue, and his weakness. Failing, he appears as a black man and a swordsman, and then as beasts, a dragon, an asp, and a basilisk. Ioasaph laughs at him, says the beastly forms suit his mind, and quotes the psalms; the sign of the cross scatters them like smoke. Real beasts and snakes follow, but love casts out fear. He reaches the desert of Sennaar, finds water, and wanders two years seeking Barlaam, consoled by Christ in dreams.

Ταύτης τῆς ἀνεκλαλήτου ὡραιότητος Χριστοῦ τὸν πόθον
of-this the unspeakable beauty of-Christ the longing
ἐν καρδίᾳ δεξάμενος ὁ τῶν Ἀποστόλων χορὸς καὶ τῶν
in heart having-received the of-the Apostles choir and of-the
μαρτύρων οἱ δῆμοι πάντων ὑπερεῖδον τῶν ὁρωμένων,
martyrs the companies all despised the(-things) seen
πάσης δὲ ζωῆς τῆς προσκαίρου, καὶ τὰ μυρία τῶν
all and life the temporary and the countless of-the
βασάνων καὶ θανάτων εἴδη προείλοντο, ἐρασθέντες
tortures and of-deaths forms chose having-fallen-in-love-with
τοῦ θείου κάλλους καὶ τὸ περὶ ἡμᾶς τοῦ θείου Λόγου
the divine beauty and the toward us of-the divine Word
λογισάμενοι φίλτρον. Τοῦτο τὸ πῦρ καὶ ὁ καλὸς οὗτος,
having-reckoned love-charm this the fire also the fair this
καὶ εὐγενὴς μὲν τῷ σώματι, εὐγενέστατος δὲ μᾶλλον καὶ
and noble indeed in-the body most-noble but rather and
βασιλικώτατος τὴν ψυχὴν, ἐν ἑαυτῷ δεξάμενος, πάντων
most-royal in-the soul in himself having-received all
ὁμοῦ τῶν γηΐνων καταφρονεῖ, πατεῖ πάσας τὰς τοῦ
together the earthly(-things) despises tramples all the of-the

σώματος ἡδονὰς, ὑπερορᾷ πλούτου καὶ δόξης καὶ τῆς παρὰ
body pleasures disdains wealth and glory and the from
ἀνθρώπων τιμῆς, ἀποτίθεται διάδημα καὶ ἁλουργίδα, τῶν
men honor puts-off diadem and purple than-the
ἀραχνίων ὑφασμάτων εὐτελέστερα ταῦτα λογισάμενος,
spiders' webs cheaper these having-reckoned
πρὸς πάντα δὲ τὰ ἐπίπονα καὶ λυπηρὰ τοῦ ἀσκητικοῦ
to all and the toilsome and grievous(-things) of-the ascetic
βίου προθύμως ἑαυτὸν ἐκδίδωσιν, «Ἐκολλήθη» βοῶν, ὦ
life eagerly himself gives-over has-cleaved crying O
Χριστέ μου, «ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου· ἐμοῦ
Christ my has-cleaved the soul my after you me
δὲ ἀντελάβετο ἡ δεξιά σου.» Καὶ οὕτως ἀμεταστρεπτὶ
and has-upheld the right-hand your and thus without-turning-back
χωρήσας εἰς τὸ τῆς ἐρήμου βάθος, καὶ ὡς ἄχθος τι
having-gone into the of-the desert depth and as burden some
καὶ κλοιὸν βαρύτατον ἀποθέμενος τῶν προσκαίρων τὴν
and collar heaviest having-put-off of-the temporary(-things) the
σύγχυσιν, εὐφράνθη τῷ πνεύματι, καὶ τῷ ποθουμένῳ
confusion he-rejoiced in-the spirit and on-the longed-for
ἀτενίσας Χριστῷ, ἐβόα πρὸς αὐτὸν, ὡς παρόντι καὶ τῆς
having-gazed Christ cried to him as present and the
φωνῆς ἐπαΐοντι διαλεγόμενος· «Μὴ τὰ ἀγαθά», φησί,
voice hearing conversing not the good(-things) he-says
«τοῦ κόσμου τούτου ἴδοι ὁ ὀφθαλμός μου ἔτι, Κύριε· μὴ
of-the world this may-see the eye my still Lord not
μετεωρισθείην ἀπὸ τῆς δεῦρο τὸν νοῦν ὑπὸ τῆς παρούσης
may-I-be-distracted from the here the mind by the present
ματαιότητος· ἀλλ' ἔμπλησον τοὺς ὀφθαλμούς μου, Κύριε,
vanity but fill the eyes my Lord
δακρύων πνευματικῶν· Καὶ κατεύθυνον τὰ διαβήματά μου,
with-tears spiritual and direct the steps my

καὶ ὑπόδειξόν μοι τὸν σὸν θεράποντα Βαρλαάμ. Ὑπόδειξόν
and show me the your servant Barlaam show
μοι τὸν ἐμοὶ σωτηρίας γενόμενον πρόξενον, ἵνα καὶ
me the(-one) for-me of-salvation having-become agent that also
τοῦ ἐρημικοῦ βίου τούτου καὶ ἀσκητικοῦ δι᾽ αὐτοῦ τὴν
of-the hermit's life this and ascetic through him the
ἀκρίβειαν μάθοιμι καὶ μὴ τῇ ἀπειρίᾳ τῶν πολέμων τοῦ
exactness I-may-learn and not by-the inexperience of-the wars of-the
ἐχθροῦ ὑποσκελισθῶ. Δός μοι, Κύριε, τὴν ὁδὸν εὑρεῖν
enemy I-be-tripped-up give me Lord the road to-find
δι᾽ ἧς ἐπιτύχω σου, ὅτι τέτρωται ἡ ψυχή μου τῷ
through which I-may-attain you for has-been-wounded the soul my with-the
πόθῳ σου, καὶ σὲ διψῶ τὴν πηγὴν τῆς σωτηρίας.»
longing your and you I-thirst-for the spring of-the salvation
Ταῦτα ἔστρεφε καθ᾽ ἑαυτὸν ἀεί, καὶ τῷ Θεῷ διελέγετο,
these(-things) he-turned by himself always and — with-God conversed
διὰ προσευχῆς αὐτῷ καὶ θεωρίας ὑψηλοτάτης ἑνούμενος.
through prayer to-him and contemplation most-lofty united
Καὶ οὕτω συντόνως τὴν ὁδοιπορίαν διήνυε, τὸν χῶρον
and thus intently the journey he-accomplished the place
σπεύδων καταλαβεῖν, ἔνθα Βαρλαὰμ διῆγεν. Ἐτρέφετο δὲ
hastening to-reach where Barlaam lived he-was-nourished and
ταῖς φυομέναις βοτάναις κατὰ τὴν ἔρημον· οὐδὲν γὰρ
by-the growing herbs throughout the desert nothing for
ἄλλο ἐπεφέρετο, καθάπερ ἔφθην εἰπὼν, εἰ μὴ μόνον
other he-carried as I-anticipated saying if not only
τὸ σῶμα τὸ ἴδιον καὶ τὸ ῥάκος ὃ περιεβέβλητο. Ἀλλὰ
the body the own and the rag which he-had-put-on but
τροφὴν μὲν μετρίαν καὶ οὐδαμινὴν ἐκ τῶν βοτανῶν
food indeed moderate and worthless from the herbs
ποριζόμενος, ὕδατος παντελῶς ἠπόρει, ἀνύδρου καὶ
procuring of-water utterly he-was-in-want waterless and

ξηρᾶς οὔσης τῆς ἐρήμου ἐκείνης. Ἤδη τοίνυν περὶ τὰς
dry being of-the desert that already then about the
μεσημβρίας, τοῦ ἡλίου σφοδρὸν φλέγοντος, τῆς ὁδοιπορίας
noon the sun violently burning to-the journey
ἐχόμενος, σφοδρότερον αὐτὸς ἐφλέγετο ἐν δίψει καύματος ἐν
holding more-violently he was-burned in thirst of-heat in
ἀνύδρῳ, καὶ τὴν ἐσχάτην ἐταλαιπωρεῖτο ταλαιπωρίαν·
(a)-waterless(-place) and the uttermost suffered hardship
ἀλλ' ἐνίκα ὁ πόθος τὴν φύσιν, καὶ ἡ δίψα, ἣν πρὸς τὸν
but conquered the longing the nature and the thirst which for —
Θεὸν ἐδίψα, τὴν φλόγα ἐδρόσιζε τῆς τοῦ ὕδατος δίψης.
God he-thirsted the flame bedewed of-the of-the water thirst
Ὁ δὲ μισόκαλος καὶ φθονερὸς Διάβολος, μὴ ὑποφέρων ἐν
the but hater-of-good and envious Devil not bearing in
αὐτῷ τὴν τοιαύτην ὁρᾷν πρόθεσιν καὶ οὕτω θερμοτάτην
him the such to-see purpose and thus most-fervent
πρὸς τὸν Θεὸν ἀγάπην, πολλοὺς αὐτῷ κατὰ τὴν
toward — God love many for-him throughout the
ἔρημον ἐξήγειρε πειρασμοὺς, ὑποβάλλων αὐτῷ μνήμην
desert raised-up temptations suggesting to-him memory
τῆς βασιλικῆς αὐτοῦ δόξης καὶ τῆς παρεσταμένης αὐτῷ
of-the royal his glory and of-the attending him
λαμπροτάτης δορυφορίας, φίλων τε καὶ συγγενῶν καὶ
most-brilliant bodyguard of-friends both and of-kinsmen and
ὁμηλίκων, καὶ ὡς αἱ πάντων ψυχαὶ τῆς αὐτοῦ ἐξήρτηντο
of-companions and how the of-all souls from-the his hung
ψυχῆς, καὶ τὰς ἄλλας ἀνέσεις τοῦ βίου· εἶτα τὸ τραχὺ τῆς
soul and the other relaxations of-the life then the roughness of-the
ἀρετῆς προεβάλλετο καὶ τοὺς πολλοὺς αὐτῆς ἱδρῶτας, τοῦ
virtue he-put-forward and the many its sweats of-the
σώματός τε τὴν ἀσθένειαν καὶ τὸ ἀσύνηθες αὐτοῦ ἐν
body both the weakness and the unaccustomedness his in

τῇ τοιαύτῃ ταλαιπωρίᾳ, καὶ τοῦ χρόνου τὸ μῆκος, τὴν ἐν
the such hardship and of-the time the length the at
χερσίν τε ἀνάγκην τῆς δίψης, καὶ τὸ μηδαμόθεν ἐκδέχεσθαι
hand both necessity of-the thirst and the from-nowhere to-expect
παράκλησιν ἢ τέλος τοῦ τοσούτου κόπου· «καὶ ὅλως πολὺν
consolation or end of-the so-great toil and wholly much
αὐτῷ ἤγειρε κονιορτὸν τῶν λογισμῶν ἐν τῇ διανοίᾳ»,
for-him he-raised dust of-the thoughts in the mind
καθά που καὶ περὶ τοῦ μεγάλου γέγραπται Ἀντωνίου.
as somewhere also about the great is-written Antony
Ὡς δὲ εἶδεν ἑαυτὸν ὁ ἐχθρὸς ἀσθενοῦντα πρὸς τὴν ἐκείνου
when and saw himself the enemy weak against the his
πρόθεσιν (τὸν Χριστὸν γὰρ αὐτὸς ἐνθυμούμενος καὶ τῷ
purpose — Christ for he pondering and with-the
ἐκείνου πόθῳ φλεγόμενος, ῥωννύμενός τε καλῶς τῇ ἐλπίδι
his longing burning being-strengthened both well by-the hope
καὶ τῇ πίστει στηριζόμενος, εἰς οὐδὲν τὰς ἐκείνου ὑποβολὰς
and by-the faith being-supported for nothing the his suggestions
ἐλογίζετο), κατῃσχύνθη ὁ πολέμιος ἐκ πρώτης, ὃ λέγεται,
he-reckoned was-shamed the enemy at (the)-first as is-said
προσβολῆς πεσών. Ἑτέραν οὖν ἔρχεται ὁδὸν (πολλαὶ γὰρ
assault having-fallen another then he-goes road many for
αὐτῷ αἱ τῆς κακίας τρίβοι), καὶ φαντάσμασι ποικίλοις
to-him the of-the wickedness paths and with-apparitions various
ἀνατρέπειν αὐτὸν ἐπειρᾶτο καὶ εἰς δειλίαν ἐμβαλεῖν,
to-overturn him he-tried and into cowardice to-cast
ποτὲ μὲν μέλας αὐτῷ φαινόμενος, οἷος ἐστί· ποτὲ δὲ,
at-one-time indeed black to-him appearing such-as he-is at-another and
ῥομφαίαν ἐσπασμένην κατέχων, ἐπεπήδα αὐτῷ, καὶ πατάξαι
(a)-sword drawn holding leapt-at him and to-strike
ἠπείλει, εἰ μὴ θᾶττον εἰς τὰ ὀπίσω στραφῇ· ἄλλοτε
threatened if not quicker into the(-things) behind he-should-turn at-other-times

θηρίων ὑπήρχετο παντοδαπῶν μορφὰς, βρυχῶν κατ' αὐτοῦ
of-beasts he-assumed of-all-sorts forms roaring against him
καὶ δεινότατον ἀποτελῶν μυκηθμὸν καὶ ψόφον· εἶτα καὶ
and most-terrible accomplishing bellowing and noise then also
εἰς δράκοντα μετεμορφοῦτο καὶ ἀσπίδα καὶ βασιλίσκον.
into (a)-dragon was-transformed and asp and basilisk
Ὁ δὲ καλὸς ἐκεῖνος καὶ γενναιότατος ἀθλητὴς ἀτρέμας ἦν
the but fair that and most-noble athlete unshaken was
τὴν ψυχὴν, ἅτε δὴ τὸν ὕψιστον ἑαυτοῦ καταφυγὴν θέμενος.
in-the soul since indeed the most-high his refuge having-made
Νήφων δὲ τῇ διανοίᾳ καὶ κατεγγελῶν τοῦ πονηροῦ, ἔλεγεν·
being-sober and in-the mind and laughing-at the evil(-one) he-said
«Οὐκ ἔλαθές με, ὦ ἀπατεών, ὅστις εἶ, ὁ ταῦτά
not you-escaped me O deceiver who you-are the(-one) these(-things)
μοι ἐγείρων, ὁ ἐξ ἀρχῆς κακὰ τεκταινόμενος
against-me raising the(-one) from (the)-beginning evils devising
τῶν ἀνθρώπων τῷ γένει, καὶ ἀεί ποτε πονηρὸς ὢν καὶ
of-the men for-the race and always ever evil being and
τὸ βλάπτειν οὐδαμῶς ἀπολείπων. Ἀλλ' ὡς προσῆκόν σοι
the to-harm in-no-way leaving-off but as befitting to-you
τὸ σχῆμα καὶ οἰκειότατον, αὐτῷ δὴ τούτῳ τῷ θηρίοις
the form and most-proper by-very indeed this the with-beasts
καὶ ἑρπετοῖς ὁμοιοῦσθαι, τὸ θηριῶδές σου τῆς γνώμης
and reptiles to-be-likened the bestiality your of-the mind
καὶ σκολιὸν, ἰοβόλον τε καὶ βλαπτικὸν τῆς προαιρέσεως,
and crookedness venomousness both and harmfulness of-the choice
ἐνδεικνυμένῳ! Τί οὖν ἀνηνύτοις ἐπιχειρεῖς, ἄθλιε; ἐξότε
showing what then impossible(-things) do-you-attempt wretch since
γὰρ ἔγνων τῆς σῆς εἶναι κακίας τὰ μηχανήματα ταῦτα
for I-knew of-the your to-be wickedness the devices these
καὶ φόβητρα, οὐδεμία μοι λοιπὸν ἔτι ἐστὶ φροντὶς περὶ
and bugbears no to-me henceforth still is care about

σοῦ. «Κύριος ἐμοὶ βοηθὸς, κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς
you (the)-Lord for-me (is)-helper and-I will-look-upon the enemies
μου», καὶ ἐπὶ ἀσπίδα καὶ βασιλίσκον σὲ ἐπιβήσομαι οἷς
my and upon asp and basilisk you I-will-tread to-which
ὁμοιοῦσαι, καὶ καταπατήσω σὲ τὸν λέοντα καὶ δράκοντα,
you-are-likened and I-will-trample you the lion and dragon
τῇ δυνάμει τοῦ Χριστοῦ κραταιούμενος. Αἰσχυνθείησαν
by-the power — of-Christ strengthened let-be-ashamed
καὶ ἐντραπείησαν πάντες οἱ ἐχθροί μου· ἀποστραφείησαν
and let-be-confounded all the enemies my let-be-turned-back
καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους.»
and let-be-shamed exceedingly with speed
Ταῦτα λέγων, καὶ τὸ σημεῖον τοῦ σταυροῦ ἑαυτῷ
these(-things) saying and the sign of-the cross on-himself
περιβαλὼν ὅπλον ἀκαταγώνιστον, πάσας τὰς τοῦ Διαβόλου
having-put weapon invincible all the of-the Devil
φαντασίας κατήργησεν. Εὐθὺς γὰρ τά τε θηρία καὶ τὰ
apparitions he-abolished at-once for the both beasts and the
ἑρπετὰ, ὡς ἐκλείπει καπνὸς, ἐξέλιπον, καὶ ὡς τήκεται κηρὸς
reptiles as fails smoke failed and as melts wax
ἀπὸ προσώπου πυρός· αὐτὸς δὲ, τῇ τοῦ Χριστοῦ δυνάμει
from (the)-face of-fire he and by-the — of-Christ power
ἰσχύων, ἐπορεύετο χαίρων καὶ εὐχαριστῶν τῷ Κυρίῳ.
being-strong traveled rejoicing and giving-thanks to-the Lord
Ἀλλὰ καὶ θηρία πολλὰ καὶ ποικίλα καὶ ὄφεων παντοδαπὰ
but also beasts many and various and of-snakes all-kinds
καὶ δρακοντόμορφα γένη ἡ ἔρημος ἐκείνη τρέφει, ἅτινα
and dragon-shaped races the desert that nourishes which
συναντῶντα αὐτῷ οὐκ ἔτι φαντασία, ἀλλ' ἀλήθεια
meeting him no longer apparition but truth
ἐδείκνυτο, ὡς ἐντεῦθεν φόβου μὲν ἦν πλήρης ἡ ὁδὸς καὶ
were-shown so-that thence of-fear indeed was full the road and

πόνου· αὐτὸς δὲ ἀμφοτέρων ὑπερίπτατο τῷ λογισμῷ,
of-toil he but both flew-above with-the reasoning
τὸν μὲν φόβον τῆς ἀγάπης, ὥς φησιν ἡ γραφὴ, ἔξω
the indeed fear the love as says the scripture outside
βαλλούσης, τὸν πόνον δὲ τοῦ πόθου ἐπικουφίζοντος.
casting the toil and the longing lightening
Οὕτως οὖν πολλαῖς καὶ ποικίλαις συμφοραῖς καὶ
thus then with-many and various calamities and
ταλαιπωρίαις πυκτεύσας, δι' ἡμερῶν οὐκ ὀλίγων
hardships having-boxed through days not few
κατέλαβε τὴν ἔρημον ἐκείνην τῆς Σενααρίτιδος γῆς, ἐν
he-reached the desert that of-the Sennaarite land in
ᾗ ὁ Βαρλαὰμ ᾤκει· ἔνθα καὶ ὕδατος τυχὼν τὴν
which — Barlaam dwelt where also water having-found the
φλόγα κατέσβεσε τῆς δίψης.
flame he-quenched of-the thirst
Ἔμεινε δὲ Ἰωάσαφ διετίαν ὅλην κατὰ τὸ πέλαγος τῆς
remained and Ioasaph two-years whole throughout the sea of-the
ἐρήμου ταύτης ἀλώμενος καὶ μὴ εὑρίσκων τὸν Βαρλαὰμ,
desert this wandering and not finding — Barlaam
τοῦ Θεοῦ κἀνταῦθα τὸ στερρὸν τοῦ λογισμοῦ αὐτοῦ καὶ
— of-God even-here the firmness of-the reasoning his and
τὸ τῆς ψυχῆς γενναῖον δοκιμάζοντος. Καὶ ἦν οὕτως
the of-the soul nobility testing and he-was thus
αἴθριος συγκαιόμενος τῷ καύσωνι καὶ τῷ κρύει
in-the-open-air burned-up by-the scorching-heat and by-the frost
πηγνύμενος καὶ ἀπαύστως ζητῶν ὥσπερ τινὰ θησαυρὸν
frozen and ceaselessly seeking as-if some treasure
πολύτιμον τὸν τιμιώτατον γέροντα. Πολλοὺς δὲ ὑπέμεινε
very-precious the most-precious old-man many and he-endured
πειρασμοὺς καὶ πολέμους τῶν πονηρῶν Πνευμάτων, καὶ
temptations and wars of-the evil Spirits and

πολλοὺς ὑπήνεγκε πόνους τῆς τῶν βοτανῶν ἐνδείας,
many he-bore toils of-the of-the herbs lack
ἃς εἰς τροφὴν ἐκέχρητο, ὅτι καὶ ταύτας ξηρὰ οὖσα
which for food he-used since even these dry being
ἡ ἔρημος ἐνδεῶς ἐβλάστανεν. Ἀλλὰ, τῷ πόθῳ τοῦ
the desert scantily sprouted but with-the longing of-the
Δεσπότου φλεγομένη, ἡ ἀδαμαντίνη ψυχὴ ἐκείνη καὶ
Master burning the adamantine soul that and
ἀήττητος ῥᾷον ἤνεγκε τὰ λυπηρὰ ταῦτα ἢ τὰς
unconquered more-easily bore the grievous(-things) these than the
ἡδονὰς ἕτεροι. Διὸ τῆς ἄνωθεν οὐ διήμαρτε συμμαχίας,
pleasures others wherefore of-the from-above not he-missed alliance
ἀλλὰ, κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν αὐτοῦ καὶ πόνων,
but according-to the multitude of-the pains his and toils
αἱ παρὰ τοῦ ποθουμένου Χριστοῦ ἐγγινόμεναι παρακλήσεις
the from the longed-for Christ arising consolations
καθ' ὕπνους τε καὶ καθ' ὕπαρ εὔφραναν τὴν ψυχὴν αὐτοῦ.
in sleep both and in waking gladdened the soul his
Συμπληρουμένης δὲ τῆς διετίας, Ἰωάσαφ μὲν ἀπαύστως
being-completed and of-the two-years Ioasaph indeed ceaselessly
περιήει ζητῶν τὸν ποθούμενον, καὶ ἐποτνιᾶτο πρὸς τὸν
went-around seeking the longed-for and implored to —
Θεὸν δάκρυα ποταμηδὸν τῶν ὀφθαλμῶν προχεόμενος, καὶ
God tears like-a-river from-the eyes pouring-forth and
«Δεῖξόν μοι, δέσποτα», βοῶν, «δεῖξόν μοι τὸν αἴτιόν μοι
show me master crying show me the cause to-me
τῆς σῆς ἐπιγνώσεως καὶ τῶν τοσούτων ἀγαθῶν γενόμενόν
of-the your knowledge and of-the so-many good(-things) having-become
μοι πρόξενον· καὶ μὴ, διὰ τὸ πλῆθος τῶν ἀνομιῶν μου,
for-me agent and not because-of the multitude of-the iniquities my

καλοῦ με τοσούτου στερήσῃς. Ἀλλ᾽ ἀξίωσόν με ἰδεῖν τε
of-good me so-great deprive but deem-worthy me to-see both
αὐτὸν καὶ ἴσον αὐτῷ τὸν ἀγῶνα τῆς ἀσκήσεως θέσθαι.»
him and equal with-him the contest of-the discipline to-set-myself

XXI · BARLAAM FOUND

Ioasaph meets a hermit who shows him the way to Barlaam's cave, and hastens there like a child hoping to see his father. At his knock Barlaam knows him in the spirit, though the sun, hair, and tears have changed his face. They pray, embrace, and sit together; Barlaam calls him heir of the kingdom, who sold all for the pearl, and asks after his father. Ioasaph tells all, and Barlaam gives thanks that the seed bore a hundredfold. They share a meal of raw vegetables, dates, and water, and talk through the night. Ioasaph lives with him for years in discipline, until Barlaam, near his end, asks him to bury him and stay on in that place.

Εὑρίσκει δὲ Θεοῦ χάριτι σπήλαιον, ἰχνηλατήσας τῶν
finds and of-God by-grace (a)-cave having-tracked of-those
ἐκεῖσε πορευομένων τὴν τρίβον. Καὶ μοναχῷ τινὶ
there going the path and with-(a)-monk some
ἐντυγχάνει τὸν ἐρημικὸν μετιόντι βίον. Καὶ τούτῳ
meets the hermit's pursuing life and on-him
θερμότατα περιχυθεὶς καὶ ἀσπασάμενος, τοῦ Βαρλαὰμ
most-fervently having-thrown-himself and having-greeted(-him) — of-Barlaam
ἠρώτα τὸ σκήνωμα εὑρεῖν, καὶ τὰ καθ᾽ ἑαυτὸν
asked the dwelling to-find and the(-things) concerning himself
διεξῄει, δῆλα τῷ ἀνδρὶ θέμενος. Δι᾽ αὐτοῦ τοίνυν
related clear to-the man having-made through him then
τὸν τόπον διδαχθεὶς τῆς τοῦ ζητουμένου οἰκήσεως,
the place having-been-taught of-the of-the sought dwelling
καταλαμβάνει τάχιστα, ὡς ὅταν θηρευτὴς ἐμπειρότατος
he-reaches(-it) most-quickly as when (a)-hunter most-experienced

ἴχνεσιν ἐπιτύχῃ τοῦ θηράματος. Καὶ φθάσας τινὰ
tracks lights-upon of-the prey and having-come-upon some
σημεῖα τὰ παρὰ τοῦ ἄλλου γέροντος διδαχθέντα αὐτῷ,
signs the(-ones) by the other old-man taught to-him
ἐπορεύετο χαίρων καὶ τῇ ἐλπίδι ῥωννύμενος, ὡς νήπιος
he-traveled rejoicing and by-the hope strengthened as (an)-infant
ἐκ μακροῦ χρόνου τὸν πατέρα ἐλπίζων θεάσασθαι. Ὅταν
after long time the father hoping to-behold when
γὰρ ὁ κατὰ Θεὸν πόθος εἰς ψυχὴν ῥαγῇ, πολλῷ τοῦ
for the according-to God longing into (a)-soul bursts much than-the
φυσικοῦ δείκνυται θερμότερός τε καὶ βιαιότερος.
natural(-one) is-shown warmer both and more-violent
Ἐφίσταται τοίνυν τῇ θύρᾳ τοῦ σπηλαίου. Καὶ, κρούσας,
stands then at-the door of-the cave and having-knocked
«Εὐλόγησον», εἶπε, «πάτερ, εὐλόγησον». Ὡς δὲ τῆς
bless he-said father bless when and the
φωνῆς ἀκούσας ἐξῆλθεν ὁ Βαρλαὰμ τοῦ σπηλαίου,
voice having-heard came-out — Barlaam from-the cave
ἐγνώρισε τῷ πνεύματι τὸν, κατά γε τὴν ἔξω θέαν,
he-recognized in-the spirit the(-one) according-to at-least the outward sight
οὐκ εὐχερῶς γνωρισθῆναι δυνάμενον, διὰ τὴν θαυμαστὴν
not easily to-be-recognized being-able because-of the wonderful
ἐκείνην μεταβολὴν καὶ ἀλλοίωσιν ἣν ἠλλοίωτο καὶ
that change and alteration which he-had-been-altered and
μετεβέβλητο τῆς ὄψεως ἐκείνης τῆς προτέρας καὶ τῆς
changed from-the appearance that the former and of-the
ὡραῖον ἀνθούσης νεότητος, μεμελανωμένος μὲν ἐκ τῆς
beautifully blooming youth blackened indeed from the
ἡλιακῆς καύσεως, κατάκομος δὲ ταῖς θριξὶν, ἐκτετηκυίας
sun's burning long-haired and with-the hair wasted
δὲ τὰς παρειὰς καὶ τοὺς ὀφθαλμοὺς ἔσω που εἰς βάθος
and the cheeks and the eyes inward somewhere into depth

δεδυκότας καὶ τὰ βλέφαρα περιπεφλεγμένα ἔχων ταῖς
sunk and the eyelids burned-around having with-the
ῥοαῖς τῶν δακρύων καὶ τῇ πολλῇ τῆς ἐνδείας ταλαιπωρίᾳ.
streams of-the tears and by-the great of-the want hardship
Ἔγνω δὲ καὶ Ἰωάσαφ τὸν πνευματικὸν πατέρα, τοὺς
knew and also Ioasaph the spiritual father the
χαρακτῆρας μάλιστα τῆς ὄψεως ἔχοντα τοὺς αὐτούς.
features most-of-all of-the face having the same
Στὰς οὖν εὐθὺς κατὰ ἀνατολὰς, ὁ γέρων εὐχὴν
having-stood then at-once toward (the)-east the old-man (a)-prayer
ἀνέπεμψε τῷ Θεῷ εὐχαριστήριον. Καὶ, μετὰ τὴν εὐχὴν
sent-up — to-God of-thanksgiving and after the prayer
ἐπειπόντες τὸ ἀμὴν, περιλαβόντες τε καὶ περιπτυξάμενοι
having-added the amen having-embraced both and having-clasped
θερμοτάταις ἠμείβοντο ἀλλήλους περιπλοκαῖς, χρονίου
with-most-fervent they-exchanged one-another embraces of-long
πόθου ἐμφορούμενοι ἀκορέστως. Ἐπεὶ δὲ ἀρκούντως
longing filling-themselves insatiably when and sufficiently
περιέλαβον καὶ προσηγόρευσαν, καθίσαντες διωμίλουν.
they-had-embraced and greeted having-sat-down they-conversed
Λόγου δὲ ἀρξάμενος ὁ Βαρλαὰμ, «Καλῶς ἦλθες», ἔλεγε,
(the)-word and having-begun — Barlaam well you-came he-said
«τέκνον ἠγαπημένον, τέκνον Θεοῦ καὶ κληρονόμε τῆς
child beloved child of-God and heir of-the
ἐπουρανίου βασιλείας διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
heavenly kingdom through the Lord our Jesus Christ
ὃν ἠγάπησας, ὃν ἐπόθησας δικαίως ὑπὲρ τὰ πρόσκαιρα
whom you-loved whom you-longed-for justly above the temporary
καὶ φθαρτά· καὶ, ὡς ἐχέφρων ἔμπορος καὶ σοφὸς,
and perishable(-things) and as (a)-sensible merchant and wise
πάντα πωλήσας, τὸν ἀτίμητον ἐξωνήσω μαργαρίτην, καὶ,
all having-sold the priceless you-bought pearl and

τῷ ἀσύλῳ ἐντυχὼν θησαυρῷ κεκρυμμένῳ ἐν τῷ ἀγρῷ
on-the inviolable having-come-upon treasure hidden in the field
τῶν ἐντολῶν τοῦ Κυρίου, πάντα δέδωκας, μηδενὸς
of-the commandments of-the Lord all you-have-given none
φεισάμενος τῶν ὅσον οὔπω παρερχομένων, ἵνα τὸν
having-spared of-the(-things) as-much not-yet passing-away that the
ἀγρὸν ἐκεῖνον ἀγοράσῃς ἑαυτῷ. Δῴη σοι Κύριος ἀντὶ
field that you-might-buy for-yourself may-give you (the)-Lord instead-of
τῶν προσκαίρων τὰ αἰώνια, ἀντὶ τῶν φθαρτῶν τὰ
the temporary(-things) the eternal instead-of the perishable the
ἄφθαρτα καὶ μὴ παλαιούμενα. Εἰπὲ γοῦν μοι, φίλτατε,
imperishable and not growing-old tell at-any-rate me dearest
πῶς ἐνταῦθα παρεγένου, πῶς μετὰ τὴν ἐμὴν ἄφιξιν
how here you-arrived how after the my departure
γέγονε τὰ κατὰ σὲ, καὶ εἰ ἔγνω τὸν Θεὸν ὁ σὸς
have-gone the(-things) concerning you and if knew — God the your
πατὴρ, ἢ καὶ εἰσέτι, τῇ προτέρᾳ φερόμενος ἀφροσύνῃ,
father or also still by-the former carried folly
ὑπὸ τῆς τῶν δαιμόνων ἀπάτης αἰχμαλωτίζεται.»
by the of-the demons deceit is-taken-captive
Ταῦτα τοῦ Βαρλαὰμ ἐρομένου, ἀναλαβὼν ὁ Ἰωάσαφ τὸν
these(-things) — Barlaam having-asked having-taken-up — Ioasaph the
λόγον, ὅσα μετὰ τὴν ἐκείνου ἀποδημίαν γέγονεν αὐτῷ, καὶ
word what-things after the his departure happened to-him and
ὅσα Κύριος εὐώδωσε μέχρι τῆς αὖθις συνελεύσεως αὐτῶν,
what-things (the)-Lord prospered until the again meeting their
πάντα κατὰ μέρος διῄει. Ὁ δὲ γέρων, ἀκούων σὺν ἡδονῇ καὶ
all in detail related the and old-man hearing with pleasure and
θαύματι, θερμῶς δακρύων, ἔλεγε· «Δόξα σοι, ὁ Θεὸς ἡμῶν,
wonder fervently weeping said glory to-you — God our
ὁ ἀεὶ παριστάμενος καὶ βοηθῶν τοῖς ἀγαπῶσί σε.
the(-one) always standing-by and helping those loving you

Δόξα σοι, Χριστὲ, βασιλεῦ τῶν ἁπάντων καὶ θεὲ πανάγαθε,
glory to-you Christ king of-the all and God all-good
ὅτι εὐδόκησας τὸν σπόρον, ὃν ἐν τῇ ψυχῇ κατέβαλον τοῦ
that you-were-pleased the seed which in the soul I-sowed of-the
δούλου σου Ἰωάσαφ, οὕτως ἑκατοστεύοντα καρπὸν ἐνεγκεῖν,
servant your Ioasaph thus hundredfold fruit to-bear
ἐπάξιον σοῦ τοῦ γεωργοῦ καὶ δεσπότου τῶν ἡμετέρων
worthy of-you the farmer and master of-the our
ψυχῶν. Δόξα σοι, παράκλητε ἀγαθὲ, τὸ πανάγιον Πνεῦμα,
souls glory to-you comforter good the all-holy Spirit
ὅτι ἧς ἔδωκας χάριτος τοῖς ἁγίοις σου Ἀποστόλοις,
that of-which you-gave grace to-the holy your Apostles
ταύτης μετασχεῖν κατηξίωσας τοῦτον, καὶ πολυάνθρωπα
of-this to-partake you-deemed-worthy this-one and populous
πλήθη τῆς δεισιδαίμονος δι᾽ αὐτοῦ ἠλευθέρωσας
multitudes from-the superstitious through him you-freed
πλάνης καὶ τῇ ἀληθινῇ ἐφώτισας θεογνωσίᾳ.»
error and with-the true enlightened knowledge-of-God
Οὕτω παρ᾽ ἀμφοτέρων ηὐχαριστεῖτο ὁ Θεός. Καὶ τοιαῦτα
thus by both was-thanked — God and such-things
ὁμιλούντων καὶ τῇ τοῦ Θεοῦ ἀγαλλιωμένων χάριτι,
conversing and in-the — of-God exulting grace
κατελάμβανεν ἡ ἑσπέρα. Καὶ δὴ πρὸς εὐχὴν ἀναστάντες
overtook(-them) the evening and indeed to prayer having-risen
τὰς συνήθεις ἐτέλουν λειτουργίας.
the customary they-accomplished services
Εἶτα καὶ τροφῆς μνησθέντες, παρετίθει πολυτελῆ ὁ
then also of-food having-remembered set-before costly —
Βαρλαὰμ τράπεζαν, τῆς πνευματικῆς πεπληρωμένην
Barlaam (a)-table with-the spiritual filled
καρυκείας, αἰσθητῆς δὲ ἥκιστα μετέχουσαν παρακλήσεως.
seasoning of-sensible but least partaking comfort

Λάχανα γὰρ ἦσαν ὠμὰ, ὧν αὐτουργὸς καὶ γεωργὸς
vegetables for were raw of-which self-worker and farmer
ἦν ὁ γέρων, καὶ φοίνικες ὀλίγοι ἐν τῇ αὐτῇ εὑρισκόμενοι
was the old-man and dates few in the same found
ἐρήμῳ, καὶ ἄγριαι βοτάναι. Εὐχαριστήσαντες οὖν, καὶ
desert and wild herbs having-given-thanks then and
τῶν παρατιθεμένων μεταλαβόντες, καὶ ὕδωρ ἐκ τῆς
of-the(-things) set-before having-partaken and water from the
παρατυγχανούσης πηγῆς πιόντες, τῷ ἀνοίγοντι χεῖρα
nearby spring having-drunk to-the(-one) opening (his)-hand
καὶ ἐμπιπλῶντι πᾶν ζῶον αὖθις ηὐχαρίστουν Θεῷ.
and filling every living-thing again they-thanked God
Ἀναστάντες δὲ πάλιν, καὶ τὰς νυκτερινὰς πληρώσαντες
having-risen and again and the nightly having-fulfilled
εὐχὰς, τῆς πνευματικῆς πάλιν μετὰ τὴν εὐχὴν ἥπτοντο
prayers of-the spiritual again after the prayer they-took-hold
ὁμιλίας, λόγους σωτηρίους καὶ τῆς οὐρανίου πεπληρωμένους
conversation words saving and of-the heavenly filled
φιλοσοφίας παρ᾽ ὅλην διεξερχόμενοι τὴν νύκτα, ἕως αὐτοὺς
philosophy throughout whole going-through the night until them
ὄρθρος τῶν συνήθων αὖθις μνησθῆναι εὐχῶν πεποίηκεν.
dawn of-the customary again to-remember prayers made
Ἔμεινε δὲ Ἰωάσαφ μετὰ τοῦ Βαρλαὰμ ἱκανοὺς οὑτωσὶ
remained and Ioasaph with — Barlaam considerable thus
χρόνους, τὴν θαυμαστὴν ταύτην καὶ ὑπὲρ ἄνθρωπον
years the wonderful this and beyond man
μετερχόμενος πολιτείαν, καὶ ὡς πατρὶ τούτῳ καὶ
pursuing way-of-life and as to-father this-one and
παιδευτῇ μεθ᾽ ὅσης συμπαραμαρτῶν αὐτῷ ὑποταγῆς καὶ
teacher with how-much accompanying him obedience and
ταπεινώσεως, καὶ πρὸς πᾶσαν ἰδέαν γυμναζόμενος ἀρετῆς,
humility and for every form training of-virtue

ἄριστά τε παιδευόμενος τὴν πάλην τῶν πονηρῶν καὶ
most-excellently both being-taught the wrestling of-the evil and
ἀοράτων Πνευμάτων. Ἐντεῦθεν τὰ μὲν πάθη ἐθανάτωσε
invisible Spirits hence the indeed passions he-put-to-death
πάντα· τὸ φρόνημα δὲ τῆς σαρκὸς οὕτω καθυπέταξε τῷ
all the mind and of-the flesh thus subjected to-the
πνεύματι, ὡς δοῦλον δεσπότῃ, τρυφῆς καὶ ἀναπαύσεως
spirit as (a)-slave to-(a)-master of-luxury and of-rest
ἐπιλαθόμενος πάντῃ, τῷ ὕπνῳ δὲ ὡς κακῷ προστάσσων
having-forgotten wholly to-the sleep and as to-(a)-bad giving-orders
οἰκέτῃ. Καὶ, ἁπλῶς εἰπεῖν, τοσοῦτος ἦν αὐτῷ ὁ ἀγὼν
servant and simply to-say so-great was for-him the contest
τῆς ἀσκήσεως, ὡς καὶ αὐτὸν θαυμάζειν τὸν πολλοὺς ἐν
of-the discipline that even himself to-marvel the(-one) many in
ταύτῃ χρόνους διενεγκόντα Βαρλαὰμ, καὶ τῆς καρτερᾶς
this years having-spent Barlaam and by-the strong
αὐτῷ ἡττᾶσθαι ἐνστάσεως. Τοσοῦτον μὲν γὰρ τῆς
his to-be-defeated perseverance so-much indeed for of-the
σκληρᾶς ἐκείνης καὶ ἀπαρακλήτου μετελάμβανε βρώσεως,
harsh that and comfortless he-partook food
ὅσον ἀποζῆν μόνον, καὶ μὴ βιαίως θανόντα τοὺς
as-much-as to-keep-alive only and not violently having-died the
μισθοὺς ζημιωθῆναι τῆς τῶν καλῶν ἐργασίας. Οὕτω δὲ
wages to-lose of-the of-the good(-things) working thus and
εἰς τὸ ἀγρυπνεῖν τὴν φύσιν ὑπέταξεν, ὡς ἄσαρκός τις
to the to-keep-vigil the nature he-subjected as fleshless one
καὶ ἀσώματος. Εὐχῆς δὲ αὐτῷ καὶ τῆς νοερᾶς ἐργασίας
and bodiless of-prayer and for-him and of-the intellectual working
ἄληκτον τὸ ἔργον ἦν καὶ ἅπας ὁ τῆς ζωῆς χρόνος εἰς
unceasing the work was and all the of-the life time on
θεωρίας ἀνηλίσκετο πνευματικάς τε καὶ οὐρανίους, ὡς
contemplations was-spent spiritual both and heavenly so-that

μὴ ὥραν, μὴ στιγμὴν αὐτὸν τοπαράπαν ζημιωθῆναι, ἀφ'
not (an)-hour not (an)-instant him at-all to-be-lost from
οὗπερ τὴν ἔρημον ᾤκησε ταύτην. Τοῦτο γὰρ ἔργον
which-very the desert he-inhabited this this for (is)-(the)-work
μοναχικῆς τάξεως, τὸ μηδέποτε ἀργὸν τῆς πνευματικῆς
of-monastic order the never idle from-the spiritual
ἐργασίας εὑρεθῆναι· ὃ δὴ καλῶς κατώρθωσεν ὁ
working to-be-found which indeed well achieved the
γενναῖος καὶ εὐσταλὴς σταδιοδρόμος τῆς οὐρανίου πορείας.
noble and well-girt runner of-the heavenly course
Καὶ ἄσβεστον αὐτοῦ τὴν θέρμην ἐφύλαξεν ἀπ' ἀρχῆς
and unquenched his the heat he-kept from (the)-beginning
μέχρι τέλους, ἀναβάσεις ἀεὶ ἐν καρδίᾳ τιθέμενος, καὶ
to (the)-end ascents always in heart setting and
ἐκ δυνάμεως εἰς ὑψηλοτέραν μεταβαίνων δύναμιν, πόθῳ
from power to higher passing power to-longing
πόθον καὶ σπουδὴν σπουδῇ διηνεκῶς προστιθεὶς, ἕως
longing and zeal to-zeal continually adding until
ἔφθασεν εἰς τὴν ἐλπιζομένην καὶ ποθουμένην μακαριότητα.
he-reached into the hoped-for and longed-for blessedness
Οὕτως οὖν ἀλλήλοις συνόντες Βαρλαάμ τε καὶ Ἰωάσαφ,
thus then with-one-another being-together Barlaam both and Ioasaph
καὶ τὴν καλὴν ἅμιλλαν ἁμιλλώμενοι, ἐκτὸς πάσης μερίμνης
and the fair rivalry vying outside all care
καὶ πάσης βιωτικῆς ὄντες ταραχῆς, ἀνεπιθόλωτόν τε
and all worldly being turmoil unmuddied both
τὸν νοῦν κεκτημένοι καὶ ἀμιγῆ πάσης συγχύσεως, μετὰ
the mind having-acquired and unmixed with-all confusion after
τοὺς πολλοὺς δὲ αὐτῶν ὑπὲρ εὐσεβείας καμάτους, ἐν μιᾷ
the many and their for godliness labors on one
τῶν ἡμερῶν προσκαλεσάμενος τὸν πνευματικὸν υἱὸν, ὃν
of-the days having-called the spiritual son whom

διὰ τοῦ εὐαγγελίου ἐγέννησε, λόγου ἥπτετο καὶ ὁμιλίας
through the gospel he-had-begotten (a)-word took-up and conversation
πνευματικῆς, «Πάλαι» λέγων, «ὦ φίλτατε Ἰωάσαφ, ἐν
spiritual long-ago saying O dearest Ioasaph in
ταύτῃ σε τῇ ἐρήμῳ κατοικεῖν ἔδει· καὶ τοῦτό μοι
this you the desert to-dwell it-was-needful and this to-me
ὁ Χριστὸς προσευχομένῳ περὶ σοῦ ἐπηγγείλατο πρὸ τῆς
— Christ praying about you promised before the
τοῦ βίου τελευτῆς ὄψεσθαι. Εἶδον οὖν ὡς ἐπεθύμουν·
of-the life end to-see I-saw then as I-desired
εἶδόν σε ἀπορῥαγέντα μὲν κόσμου καὶ τῶν ἐν
I-saw you broken-away indeed from-(the)-world and the(-things) in
κόσμῳ, συναφθέντα δὲ τῷ Χριστῷ ἀδιστάκτῳ τῇ γνώμῃ,
(the)-world joined and — to-Christ with-undoubting the mind
καὶ εἰς μέτρον ἐλθόντα τελειότητος τοῦ πληρώματος
and to (the)-measure having-come of-perfection of-the fullness
αὐτοῦ. Νῦν οὖν ἐπειδή μοι ὁ τῆς ἀναλύσεως καιρὸς
his now then since to-me the of-the departure time
ἐπὶ θύραις, καὶ ἡ σύντροφος καὶ ἡλικιῶτις ἐπιθυμία
at (the)-doors and the companion and coeval desire
τοῦ συνεῖναι τῷ Χριστῷ διὰ παντὸς ἤδη πληροῦται,
of-the to-be-with — Christ through all(-time) already is-fulfilled
σὲ μὲν δεῖ καλύψαι μου τὸ σῶμα τῇ γῇ καὶ
you indeed it-is-needful to-cover my the body with-the earth and
τὸν χοῦν ἀποδοῦναι τῷ χοΐ, μεῖναι δὲ τοῦ λοιποῦ
the dust to-render to-the dust to-remain and of-the rest(-of-time)
ἐν τῷδε τῷ τόπῳ τῆς πνευματικῆς ἐχόμενον πολιτείας
in this the place to-the spiritual holding way-of-life
καὶ τῆς ἐμῆς μνείαν ποιούμενον μετριότητος. Δέδοικα
and of-the my mention making lowliness I-fear
γὰρ μή ποτε ἡ ζοφερὰ τῶν δαιμόνων πληθὺς τῇ
for lest ever the gloomy of-the demons multitude to-the

ψυχῇ μου ἐμποδὼν καταστῇ διὰ τὸ πλῆθος τῶν ἐμῶν
soul my in-the-way may-stand because-of the multitude of-the my
ἀγνοημάτων. Σὺ οὖν, τέκνον, μὴ ὀλιγωρήσῃς τὸ ἐπίπονον
ignorances you then child not make-light-of the toilsomeness
mightiest it-has-come-about tomorrow for the your son comes
σοι ἐν ὥρᾳ τρίτῃ τῆς ἡμέρας, καὶ ὄψει αὐτὸν
to-you at (the)-hour third of-the day and you-will-see him
καὶ χαρήσῃ." ὁ δὲ βασιλεὺς ἐπὶ τῇ ἀγγελίᾳ γενόμενος
and you-will-rejoice the and king at the news having-become
περιχαρὴς καὶ ἰδὼν τὸν υἱόν, λέγει αὐτῷ· "ἥκεις, ὦ
overjoyed and having-seen the son says to-him you-come O
παῖ, γεγονὼς καθὼς ὁ διδάσκαλος εἶπεν;" ὅτε καὶ ὁ
child having-become as the teacher said when also the
νέος ἀπεκρίνατο· "ἅμα τῷ διδασκάλῳ προσελθόντες
young(-man) answered together-with the teacher having-come
τῷ κράτει σου ἀναγγελοῦμεν." ὅτε καὶ ὁ φιλόσοφος
to-the majesty your we-shall-report when also the philosopher
ἰδίᾳ λέγει τῷ νέῳ· "ἔδοξέ μοι ταύτῃ τῇ νυκτὶ
privately says to-the young(-man) it-seemed(-good) to-me this the night
ποιῆσαι ζήτησιν περὶ τῆς ἀποκειμένης τῇ γεννήσει σου
to-make (an)-inquiry about the laid-up for-the birth your
τύχης καὶ περὶ ταύτης ἀκριβῶς ἀστρολογῆσαι, ὡς ἄν,
fortune and about it precisely to-consult-the-stars so-that —
εἰ ἔστι σοι συμφέρον, οὕτω πέμψω σε τῷ πατρί σου."
if it-is for-you advantageous thus I-may-send you to-the father your
τὴν γοῦν τοιαύτην ἀστρολογικὴν συζήτησιν ποιησάμενος ὁ
the then such astrological investigation having-made the
φιλόσοφος εὗρεν ὅτι οὐκ ἔστι συμφέρον προσαχθῆναι τῷ
philosopher found that not it-is advantageous to-be-brought to-the
βασιλεῖ τὸν υἱὸν αὐτοῦ, εἰ μὴ ἄλλαι ἑπτὰ ἡμέραι μετὰ
king the son his if not other seven days after
τὸν ὁρισθέντα καιρὸν παρὰ τοῦ φιλοσόφου διέλθωσιν· εἰ
the appointed time by the philosopher pass if
γὰρ μὴ οὕτω γένηται, κίνδυνος τῇ ζωῇ τοῦ παιδίου
for not thus it-happens danger to-the life of-the child

γενήσεται. ταῦτα τοίνυν ὁ φιλόσοφος καταμαθὼν ἀπὸ
will-come these(-things) then the philosopher having-learned from
τῆς ἀστρολογικῆς μεθόδου, διεταράχθη. καὶ ἰδὼν
the astrological method was-thrown-into-confusion and having-seen
αὐτὸν ὁ τοῦ βασιλέως υἱὸς δεινῶς λυπούμενον, ἐπηρώτα
him the of-the king son terribly grieving asked
λέγων· "διδάσκαλε, τί οὕτω σκυθρωπὸς ἐγένου καὶ
saying teacher why thus sullen have-you-become and
κατηφής;" ὁ δὲ φιλόσοφος τὴν αἰτίαν δεδήλωκε τῷ
downcast the and philosopher the cause has-made-clear to-the
παιδί· καὶ ὁ παῖς πρὸς αὐτόν· "εἰ ἄρα τοῦτο ἀρέσκει σοι,
child and the child to him if then this pleases you
ὦ διδάσκαλε, οὐδ' εἰς ὁλόκληρον μῆνα τῷ ἐμῷ πατρί
O teacher not-even for (a)-whole month to-the my father
τε καὶ βασιλεῖ ἀπολογήσομαι ὅλως, ἀλλ' εἰς ὅσον θέλεις
both and king I-shall-make-answer at-all but for as-much-as you-wish
καιρὸν ἔσομαι σιωπῶν." ὁ δὲ φιλόσοφος εἶπεν· "ἀλλ'
time I-shall-be keeping-silent the and philosopher said but
ὑπεσχέθην τῷ πατρί σου, καὶ οὐ δύναμαι παραβῆναι τὰς
I-promised the father your and not I-can transgress the
ὑποσχέσεις· καὶ γὰρ τῇ αὔριον ἐπηγγειλάμην εἰς ὄψιν
promises and for for-the tomorrow I-announced into (the)-sight
αὐτῷ παραστῆσαί σε περὶ ὥραν δευτέραν τῆς ἡμέρας,
for-him to-present you about (the)-hour second of-the day
καὶ οὐ δύναμαι ψεύσασθαι τούτῳ. διὸ καὶ ἀπὸ τὴν
and not I-can lie to-him wherefore also from the
αὔριον ἐγὼ κατακρύψω ἐμαυτὸν ἔν τινι τόπῳ, καὶ σὺ κατὰ
tomorrow I shall-hide myself in some place and you at
τὴν δευτέραν ὥραν τῆς αὔριον ἄπιθι πρὸς τὸν πατέρα
the second hour of-the tomorrow go-away to the father
σου τὸν βασιλέα καὶ ἔμπροσθεν αὐτοῦ στῆθι, καὶ ἔσο
your the king and before him stand and be

σιωπῶν καὶ παντελῶς ἄφωνος, ἕως οὗ ἄλλαι ἑπτὰ ἡμέραι
keeping-silent and altogether voiceless until — other seven days
παρέλθωσιν.” ὅθεν καὶ πρωΐας ὁ παῖς κατὰ δευτέραν
pass whence also in-the-morning the child at (the)-second
ὥραν παραγίνεται καὶ ἐπὶ γῆς αὐτῷ προσκυνεῖ. ὁ δὲ
hour arrives and on (the)-ground to-him makes-obeisance the and
βασιλεὺς πλησιέστερον καλέσας αὐτὸν, ἀσμένως ἠσπάζετο
king nearer having-called him gladly embraced(-him)
καὶ μετὰ χαρᾶς ἤρξατο προσλαλεῖν. ὁ δὲ υἱὸς οὐκ ἐλάλει
and with joy began to-address(-him) the and son not spoke
τῷ βασιλεῖ, ἀλλ’ ἵστατο σιωπῶν, ἀτενίζων μόνον εἰς
to-the king but stood keeping-silent gazing only at
τὸν πατέρα. καὶ ὁ μὲν πατὴρ πάλιν ἠρώτα τὸν παῖδα·
the father and the indeed father again asked the child
ὁ δὲ παῖς πάλιν ἄφωνος ἵστατο. τότε ὁ βασιλεύς, ὑπὸ
the and child again voiceless stood then the king from
περιχαρίας ἐφ’ ὑψηλοῦ καθίσας τοῦ βήματος καὶ πᾶσαν
great-joy on high having-sat of-the tribunal and all
τὴν σύγκλητον πρὸς ἀκρόασιν τῶν μαθημάτων τοῦ παιδὸς
the senate for (a)-hearing of-the studies of-the child
συγκαλέσας, ἐκπληττόμενος ἦν καὶ θαυμάζων ἐπὶ τῇ τοῦ
having-called-together astounded was and marveling at the of-the
παιδὸς ἀφωνίᾳ καὶ σιωπῇ, καί φησι πρὸς τοὺς μεγιστάνους
child voicelessness and silence and says to the grandees
αὐτοῦ· “κἂν ὑμεῖς τὸν υἱόν μου λαλήσατε· αὐτὸς γὰρ,
his at-least you the son my speak(-to) he-himself for
ὡς ἔοικε, φοβούμενος ἐμὲ σιωπᾷ.” τῶν δὲ ἀρχόντων
as it-seems fearing me keeps-silent of-the and rulers
λόγους λαλησάντων τῷ νέῳ γλυκεῖς καὶ τοῦτον πρὸς
words having-spoken to-the young(-man) sweet and him to
ἀπόκρισιν ἑλκόντων, ἐκεῖνος ὡς τὸ πρότερον σιωπῶν ἦν.
answer drawing he as the former(-time) keeping-silent was

ὅθεν ὁ βασιλεὺς περιαλγὴς γενόμενος, στρατιώτας κελεύει
whence the king grieved having-become soldiers orders
εἰς τὴν τοῦ διδασκάλου ἀναζήτησιν. οἳ δὲ ἐπιμελῶς αὐτὸν
for the of-the teacher search they and carefully him
ἀναζητήσαντες οὐχ εὗρον. πάλιν οὖν ὁ βασιλεὺς λέγει
having-sought not found again then the king says
τοῖς μεγιστᾶσιν αὐτοῦ· "τί ἄρα ὑμῖν φαίνεται τὸ αἴτιον
to-the grandees his what then to-you appears the cause
τῆς σιωπῆς ταύτης;" εἷς δὲ τούτων ἀπεκρίθη τῷ βασιλεῖ
of-the silence this one and of-them answered the king
λέγων "δοκεῖ μοι, ὦ βασιλεῦ, ὡς τῷ υἱῷ σου βότανόν
saying it-seems to-me O king that to-the son your herb
τι δέδωκεν ὁ διδάσκαλος, ὥστε διὰ τοῦ βοτάνου
some has-given the teacher so-that through the herb
στερεώτερον διαβῆναι τὴν διδασκαλίαν ἐν αὐτῷ. καὶ
more-firmly to-go-through the teaching in him and
στοχαζόμεθα ὅτι ἀπὸ τοῦ βοτάνου ἐκείνου ἐδεσμεύθη· ἢ καὶ
we-conjecture that from the herb that he-was-bound or also
ἀπὸ πολλῆς καὶ σκληρᾶς παιδεύσεως τοῦ διδασκάλου τοῦτο
from much and harsh training of-the teacher this
ἐγένετο." ἐπὶ τούτοις οὖν τοῦ βασιλέως ἀθυμοῦντος καὶ
came-about at these(-things) then the king despondent and
λυπουμένου, μία τῶν αὐτοῦ γυναικῶν οὕτω λυπούμενον τὸν
grieving one of-the his wives thus grieving the
βασιλέα ἰδοῦσα, φησὶ πρὸς αὐτὸν· "ὦ βασιλεῦ, ἐπίτρεψον
king having-seen says to him O king permit
ἐμὲ καὶ τὸν υἱόν σου κατὰ μόνας γενέσθαι, καὶ ἐμοὶ τὴν
me and the son your in private to-be and to-me the
αἰτίαν τῆς σιωπῆς ἀναγγελεῖ, ὅτι καὶ πρὸ ταύτης τῆς
cause of-the silence he-will-report for also before this the
αἰτίας συνήθειαν εἶχεν ἀνακαλύπτειν ἐμοὶ πάντα ὅσα εἶχεν
cause (the)-custom he-had to-uncover to-me all what he-had

αὐτός, ἅπερ οὐδὲ τῇ αὐτοῦ μητρὶ ἐδήλου." ἡ μέντοι
he-himself which not-even to-the his mother he-made-clear the however
μήτηρ τοῦ παιδὸς καὶ αὐτὴ σφοδρότερον ἐτιτρώσκετο
mother of-the child also she more-violently was-wounded
τὴν καρδίαν. λέγει οὖν ὁ βασιλεὺς τῇ παμπονήρῳ τοῦ
(in)-the heart says then the king to-the all-wicked of-the
υἱοῦ μητρυιᾷ· "λάβε οὖν σὺ τὸν υἱόν μου πρὸς ἑαυτὴν
son stepmother take then you the son my to yourself
καὶ ὡς δύνασαι κολακευτικῶς αὐτῷ προσομίλησον, ἵνα
and as you-can flatteringly him address that
κἂν διὰ σοῦ, ὡς εἶπας, κινηθείη πρὸς τὸ λαλῆσαι.
at-least through you as you-said he-might-be-moved to the to-speak
καὶ τότε νοήσεις αὐτὴ σὺ τί τὸ τῆς σιωπῆς ταύτης
and then you-will-understand yourself you what the of-the silence this
αἴτιον." ἡ δὲ γυνὴ τὸν παῖδα τῆς χειρὸς λαβοῦσα, πρὸς
cause the and woman the child by-the hand having-taken to
τὴν ἑαυτῆς οἰκίαν ἀπήγαγε καὶ συνομιλεῖν αὐτῷ λόγους
the her-own house led-away and to-converse with-him words
πραεῖς καὶ ἡμέρους ἀπήρξατο. ὁ δὲ παῖς ὡς καὶ πρότερον
gentle and mild began the and child as also before
ὁμοίως ἐκράτει τὴν σιωπήν, μηδ' ὅλως τοῖς γλυκέσι
likewise kept the silence not-even at-all by-the sweet
λόγοις τῆς γυναικὸς ὑποχαυνούμενος καὶ ἀκούων. εἶτα
words of-the woman being-softened and hearkening then
λέγει πάλιν πρὸς αὐτὸν ἡ γυνή· "ὦ φίλτατε, νῦν ἀληθῶς
says again to him the woman O dearest now truly
ἔγνων ὡς ὑπὸ αἰτίαν τινὰ ὑπάρχεις. ἵνα τί λοιπὸν ἐπὶ
I-know that under (a)-cause some you-are for what then for
τοσοῦτον καιρὸν σιωπᾷς; ὅμως, εἰ φόβον ἔχεις εἰς
so-long (a)-time do-you-keep-silent nevertheless if fear you-have for
ἑαυτὸν μή τι τῶν ἀδοκήτων ἐπέλθοι σοι, συμβουλεύω
yourself lest anything of-the unexpected(-things) come-upon you I-advise

σοί τι πρᾶγμα ὠφέλιμον, καὶ οὐ χωρισθήσομαί σου
you some matter profitable and not I-shall-be-separated from-you
πρότερον, ἕως οὗ τὸ ἔργον ὃ λέξω σοι ἐπ᾽ ὠφελείᾳ τῇ
before until — the deed which I-shall-tell you for (the)-benefit the
σῇ ἐκπληρώσεις. ὃ δέ σοι λέγω, τοῦτό ἐστι· γινώσκεις
your you-accomplish what and to-you I-say this is you-know
καλῶς ὅτι ὁ σὸς πατὴρ ἤδη γέρων ἐστὶ καὶ ἀδύνατος,
well that the your father already old is and powerless
σὺ δὲ ἰσχύεις τῇ δυνάμει καὶ αὐξάνεις τῇ νεότητι. ἐὰν
you and are-strong in-the power and grow in-the youth if
φαίνηταί σοι οὖν καλὸν, ἐπιβουλήν τινα κατὰ τοῦ πατρός
seems to-you then good (a)-plot some against the father
σου μελετήσω, καὶ ἐκεῖνον μὲν εἰς φόνον ἐκδώσω, σὺ
your I-shall-devise and him indeed to murder I-shall-hand-over you
δὲ λαβὼν τὴν βασιλείαν, λήψῃ κἀμὲ εἰς γυναῖκα."
and having-taken the kingdom you-will-take me-too for wife
ταῦτα τῆς πονηρᾶς γυναικὸς τῷ παιδὶ λαλησάσης,
these(-things) the wicked woman to-the child having-spoken
σφόδρα ὁ παῖς ἐπὶ τούτοις ὠργίζετο, καὶ τοσοῦτον καθ᾽
greatly the child at these(-things) was-angered and so-much within
ἑαυτὸν τῷ θυμῷ ἐταράχθη, ὡς καὶ τῆς τοῦ διδασκάλου
himself in-the anger was-troubled that even the of-the teacher
αὐτῆς ἐντολῆς ἐπιλαθέσθαι καὶ πρὸ συμπληρώσεως τῶν
very command to-forget and before (the)-completion of-the
ἑπτὰ ἡμερῶν λαλῆσαι. καί φησι πρὸς αὐτὴν· "γίνωσκε,
seven days to-speak and says to her know
ὦ γύναι, ὡς τὸ νῦν λαληθὲν παρὰ σοῦ οὐχ ἕξει
O woman that the(-thing) now spoken by you not will-have
ἀπόκρισιν παρ᾽ ἐμοῦ ἕως συμπληρώσεως ἑπτὰ ἡμερῶν."
(an)-answer from me until (the)-completion of-seven days
οὕτω τοῦ παιδὸς εἰπόντος, ἡ γυνὴ περίφοβος γενομένη
thus the child having-spoken the woman terrified having-become

καὶ ἔντρομος, βουλὴν κακίστην καὶ ὀλεθρίαν κατὰ τοῦ
and trembling (a)-counsel most-evil and destructive against the
νέου ἐσκέψατο· καὶ ἅμα διέρρηξε τὰ ἱμάτια αὐτῆς
young(-man) devised and at-once tore the garments her
καὶ τὸ πρόσωπον τύπτουσα, μεγάλως ἐβόησεν. ὁ δὲ
and the face beating loudly cried-out the and
βασιλεὺς ἀκούσας τῆς φωνῆς καὶ ταραχθείς, τὴν γυναῖκα
king having-heard the voice and having-been-troubled the woman
προσκαλεῖται καὶ λέγει· "τίς ἡ αἰτία τῆς τοσαύτης σου
summons and says what(-is) the cause of-the so-great your
ἀτάκτου βοῆς;" καὶ ἡ γυνὴ ἀπεκρίθη· "ἐγὼ, βασιλεῦ, μετὰ
disorderly cry and the woman answered I king with
ἀγάπης πολλῆς κοπιῶσα καὶ προσομιλοῦσα τὸν σὸν υἱὸν,
love much toiling and conversing-with the your son
παρεκίνουν αὐτὸν τοῦ λαλῆσαί σοι· οὗτος δὲ αἰφνιδίως
was-urging him the to-speak to-you he and suddenly
ἐπιπεσών μοι, ἐνυβρίσαι μου τῷ σώματι ἐπειρᾶτο,
having-fallen-upon me to-outrage my to-the body tried
ὥστε τῇ πολλῇ βίᾳ τὴν στολήν μου ἐσπάραξεν, ὡς
so-that with-the great force the robe my he-tore as
ὁρᾷς, καὶ τὸ πρόσωπον τοῖς ἰδίοις κατετραυμάτισεν
you-see and the face with-the own he-wounded
ὄνυξι. καὶ ἐγὼ μὲν ἐνόμιζον ὡς ἄλλοις τισὶν ἐλαττώμασι
nails and I indeed was-supposing that by-other some faults
νεωτερικοῖς ὁ σὸς παῖς ἐκρατεῖτο· τοσαύτην δὲ ἀναίδειαν
youthful the your child was-held such and shamelessness
μυσαρὰν ἔχειν αὐτὸν οὐδ' ὅλως ἐστοχαζόμην." ὁ δὲ
foul to-have him not-even at-all I-was-conjecturing the and
βασιλεὺς τούτων τῶν λόγων ἀνελπίστως καὶ παρὰ
king these the words unexpectedly and contrary-to
πᾶσαν προσδοκίαν ἀκούσας, καὶ καταπλαγεὶς ἐπὶ τῷ
all expectation having-heard and having-been-astounded at the

παραδόξῳ τῆς διηγήσεως, κακῶς κατὰ τοῦ υἱοῦ διετέθη
strangeness of-the narration badly toward the son was-disposed
καὶ καθόλου αὐτὸν τῆς υἱότητος ἀπεξένωσεν. ἐπὶ πολὺ δὲ
and wholly him from-the sonship estranged for long and
τῇ καρδίᾳ νυττόμενος καὶ πικρῶς τῇ λύπῃ βαλλόμενος,
in-the heart being-pricked and bitterly by-the grief being-struck
πολυτρόπους καὶ ξένους λογισμοὺς καθ' ἑαυτὸν ἀνεπόλει
many-sided and strange thoughts within himself was-turning-over
κατὰ τοῦ υἱοῦ· τέλος δὲ τῇ πολλῇ λύπῃ κατατρωθεὶς
against the son at-the-end and by-the great grief having-been-wounded
θάνατον κατὰ τοῦ παιδὸς ἀπεφήνατο.
death against the child he-pronounced

III · THE KING'S RING

The king's seven counselors agree to speak for the prince one a day. The first warns against judging unheard and tells of a king who sends a man away on royal service and visits his wife by night. She hands him a book on chastity; he gains nothing and leaves, but his ring slips under the bed. The husband finds it and shuns his wife. Her kin complain to the king of a field left untilled; the husband speaks of a lion's tracks, and the king assures him the lion did no harm.

Ὑπῆρχον οὖν τότε τῷ βασιλεῖ σύμβουλοι φιλόσοφοι
there-were then at-that-time to-the king counselors philosophers
ἑπτά, οὓς καὶ συνήθειαν εἶχεν ἐπὶ πᾶσι τοῖς ὑπ' αὐτοῦ
seven whom also (the)-custom he-had in all the(-things) by him
γινομένοις συμβούλους καὶ συμπράκτορας ἔχειν. τοιγαροῦν
done counselors and fellow-workers to-have therefore
καὶ οὗτοι ἀκούσαντες τὴν ἐξενεχθεῖσαν ἀπόφασιν βασιλικὴν
also these having-heard the issued sentence royal
κατὰ τοῦ υἱοῦ αὐτοῦ χωρὶς τῆς αὐτῶν συμβουλῆς,
against the son his without the their counsel

συνελογίσαντο καθ᾽ ἑαυτούς, καταλαβόντες ὡς τὸ πολὺ
reasoned among themselves having-perceived that by-the much
τῆς ὀργῆς καὶ ὑπερβάλλον τῆς πράξεως ἡττηθεὶς ὁ
of-the anger and excess of-the deed overcome the
βασιλεύς, τὴν τῆς γυναικὸς κατηγορίαν πιστεύσας εἶναι
king the of-the woman accusation having-believed to-be
ἀληθῆ, τὸν υἱὸν ἀνεξετάστως ἀποθανεῖν ἐκέλευσε· “διὸ
true the son unexamined to-die ordered wherefore
οὐ δεῖ γε ἡμᾶς σιωπῆσαι τὸ τοιοῦτον δρᾶμα οὐδὲ
not it-must indeed (that)-we to-keep-silent-about the such drama nor
τὸν βασιλέα ἐᾶσαι σφάξαι τὸν υἱὸν αὐτοῦ ἀνεξετάστως
the king to-let to-slaughter the son his unexamined
καὶ ἁπλῶς. διὰ τοῦτο γὰρ, ἐὰν μὴ σπουδάσωμεν
and simply because-of this for if not we-are-zealous
ἐμποδίσαι αὐτόν, ὕστερον μεταμεληθεὶς ἡμᾶς αἰτιάσεται,
to-hinder him later having-repented us he-will-blame
καὶ εἰκότως, καὶ ὡς ἐχθροὺς ἀποστραφήσεται, ὅτι οὐκ
and fittingly and as enemies will-turn-from(-us) because not
ἐκωλύσαμεν αὐτὸν ἀπὸ τοῦ τοιούτου φόνου. ἄγε δή τινα
we-hindered him from the such murder come then some
πρᾶξιν ἁρμόζουσαν πρὸς τὸν βασιλέα ἐπινοήσωμεν, ἵνα
deed fitting toward the king let-us-devise that
τὸν υἱὸν αὐτοῦ τῆς τοῦ ἀδίκου θανάτου καταδίκης
the son his from-the of-the unjust death condemnation
ἐλευθερώσωμεν.” εἶτα ἐβουλεύσαντο εἷς ἕκαστος αὐτῶν
we-may-free then they-resolved one each of-them
ἐφ᾽ ἑκάστης ἡμέρας μέχρι καὶ τῶν ἑπτὰ περὶ τοῦ υἱοῦ
on each day until even the seven about the son
προσομιλεῖν τῷ βασιλεῖ. καὶ δῆτα εἷς τῶν ἑπτά, ὁ
to-address the king and indeed one of-the seven the(-one)
καὶ πρῶτος τῶν ἄλλων, φησίν· “ἐγὼ σήμερον τῷ βασιλεῖ
also first of-the others says I today by-the king

παραστάς, τοῦ θανάτου ἐλευθερώσω τὸν υἱὸν αὐτοῦ.”
having-stood from-the death will-free the son his
εὐθὺς οὖν ὁ ἀνὴρ ἀπέρχεται πρὸς τὸν βασιλέα καὶ μέχρις
at-once then the man goes-away to the king and to
ἐδάφους προσκυνήσας εἶπεν· “ὦ βασιλεῦ, οὐ δίκαιόν ἐστι
(the)-ground having-made-obeisance said O king not just it-is
τοὺς βασιλέας πρὸ ἐξετάσεως τῆς ἀληθείας ποιεῖν τι.”
(for)-the kings before examination of-the truth to-do anything
ἤρξατο δὲ καὶ τοιοῦτόν τι διήγημα πρὸς τὸν βασιλέα
he-began and also such some narrative to the king
λέγων· “ἦν τις βασιλεύς, ὃς ἐπὶ τοσοῦτον ἠγάπα
saying there-was a-certain king who to such-a-degree loved
τὰς γυναῖκας, ὡς οὐδεὶς ἕτερος τῶν πάντων ἀνθρώπων·
the women as no other of-the all men
δαιμονιώδης γὰρ ἦν εἰς αὐτάς, ὥστε μὴ νομίζειν ἄλλο
demon-driven for he-was toward them so-as not to-think other
τι τῶν ἐν κόσμῳ ἠγαπημενώτερον ἢ γλυκύτερον.
anything of-the(-things) in (the)-world more-beloved or sweeter
οὗτος τοίνυν ὁ βασιλεὺς ἔτυχε μιᾷ τῶν ἡμερῶν
this then the king it-happened on-one of-the days
παρακύψαι ἐκ τῶν τοῦ παλατίου καγκέλλων, ἀφ’ ὧν ὁρᾷ
to-peep from the of-the palace lattices from which he-sees
γυναῖκα μίαν σφόδρα ὡραίαν καὶ περικαλλῆ· καὶ ταύτης
(a)-woman one exceedingly beautiful and very-lovely and her
ἥλω τῷ κάλλει, καὶ πολὺς ἔρως κατεδαπάνα καὶ
he-was-taken by-the beauty and much love was-consuming and
ἔθλιβε τὴν καρδίαν αὐτοῦ. ὅθεν καὶ τὴν ἐπιθυμίαν αὐτοῦ
was-pressing the heart his whence also the desire his
ἐκπληρῶσαι βουλόμενος, τὸν αὐτῆς ἄνδρα καλέσας ἐπί τινα
to-fulfill wishing the her husband having-called on some
βασιλικὴν ὑπηρεσίαν ἐκπέμπει. αὐτὸς δὲ νυκτὸς πρὸς τὴν
royal service he-sends-out he-himself and by-night to the

γυναῖκα παραγενόμενος, πρὸς συνουσίαν ταύτην ἠρέθιζεν. ἡ
woman having-come to intercourse her he-was-urging the
δὲ γυνὴ φρονήσεως καὶ νοῦ ὀξυτάτου πλήρης τυγχάνουσα
and woman of-prudence and of-mind most-keen full being
καὶ τῇ σωφροσύνῃ μᾶλλον σεμνυνομένη, "δούλη μὲν ἐγὼ
and in-the chastity rather priding-herself handmaid indeed I
τοῦ κράτους σου" ἔφη "ὦ βασιλεῦ, καὶ πρὸς τὸ σὸν
of-the majesty your she-said O king and for the your
πρόσταγμα ἐκπληρῶσαι ἑτοιμοτάτη· ἀλλ' ἐν πρώτοις
command to-fulfill most-ready but in (the)-first(-place)
δέομαι μίαν κἀμοῦ τῆς δούλης σου γενέσθαι παρὰ τοῦ
I-ask one also-of-me the handmaid your to-be(-granted) from the
κράτους σου αἴτησιν." καὶ τοῦτο εἰποῦσα, δείκνυσι τῷ
majesty your request and this having-said she-shows to-the
βασιλεῖ βίβλον τινὰ τοῦ ἀνδρὸς αὐτῆς, ἐν ᾗ περὶ
king (a)-book some of-the husband her in which about
σωφροσύνης ἐγέγραπτο καὶ τῆς τῶν αἰσχρῶν καὶ ἀλόγων
chastity was-written and the of-the shameful and unreasoning
ὀρέξεων ἀποφυγῆς· καὶ ταύτην ἀνοίξασα, "ἀνάγνωθι,
appetites flight and it having-opened read
δέομαι, βασιλεῦ," ἔφη "καὶ ἐξ αὐτῆς κατανόησον πῶς
I-beg king she-said and from it consider how
δεῖ τοὺς κατὰ σὲ βασιλέας κρατεῖν τῶν ἡδονῶν· οὕτω
it-must the like you kings master the pleasures thus
γὰρ δικαίως ἂν βασιλεῖς εἶναι καὶ ὀνομάζεσθαι ἔχοιεν."
for justly — kings to-be and to-be-named they-could
ὁ δὲ βασιλεὺς ἀφεὶς τὰ ἐν τῇ βίβλῳ, παίζειν
the and king having-let-go the(-things) in the book to-play
ἀσχημόνως ἐπεχείρει τῇ γυναικὶ καὶ ταύτης ἅπτεσθαι
shamefully attempted with-the woman and her to-touch
ἀτάκτως. οὐδὲν δὲ τῆς τοιαύτης ἀναισχυντίας ἀπέλαυεν·
disorderly nothing and of-the such shamelessness he-enjoyed

ἀλλὰ πολλὰ καμὼν ἐκεῖσε καὶ κεκοπιακὼς ἀνεχώρησε,
but much having-toiled there and having-wearied withdrew
μηδὲν τῇ γυναικὶ διαπραξάμενος ἄτοπον. τὸ δὲ τούτου
nothing with-the woman having-accomplished unseemly the and his
βασιλικὸν δακτύλιον τῆς χειρὸς ὀλισθῆσαν ὅτε τῇ
royal ring from-the hand having-slipped when the
γυναικὶ ἐρωτικῶς περιΐπτατο, μὴ εἰδυίας ὅλως αὐτῆς ὑπὸ
woman amorously he-was-embracing not knowing at-all she under
τὴν κλίνην ἐκείνης λαθὸν ἀποπέπτωκεν. ὅτε δὲ ὁ αὐτῆς
the bed her unnoticed has-fallen when and the her
ἀνὴρ ἦλθε, καθεσθεὶς ὡς ἔθος ἐπὶ τῆς κλίνης, ὁρᾷ
husband came having-sat as (was-his)-custom on the bed he-sees
τὸν δακτύλιον ἐπὶ τῇ κλίνῃ κείμενον, καὶ περιεργότερον
the ring on the bed lying and more-curiously
τούτῳ τοὺς ὀφθαλμοὺς βαλών, ἔγνω γε ἅμα τοῦτον
on-it the eyes having-cast he-knew indeed at-once it
ὄντα βασιλικόν. τοῖς λογισμοῖς οὖν ταραττόμενος ὁ ἀνὴρ
being royal by-the thoughts then being-troubled the husband
καθ' ἑαυτὸν ἔλεγεν ὡς "ὁ βασιλεὺς τῆς γυναικός μου
within himself said that the king against-the wife my
κατεξανέστη καὶ αὐτῇ συνεφθάρη." καὶ ἀπὸ τότε φόβος εἰς
rose-up and with-her was-corrupted and from then fear into
αὐτὸν τοῦ βασιλέως εἰσῆλθε, καὶ οὐκ ἔτι συγκοιμηθῆναι
him of-the king entered and not any-more to-sleep-with
τῇ γυναικὶ ἐπεχείρησεν· ἀλλ' οὐδέ τινα λόγον περὶ τούτου
the wife he-attempted but not-even any word about this
τῇ γυναικὶ λελάληκεν. ἐπὶ πολὺ δὲ ὁ ἀνὴρ τῆς γυναικὸς
to-the wife he-has-spoken for long and the husband the wife
μὴ ἁψάμενος, ἔγνω δεῖν σιγῇ φέρειν τὸ πρᾶγμα· τῆς
not having-touched knew (it)-must in-silence to-bear the matter the
δὲ γυναικὸς πρὸς τὸν ἴδιον πατέρα καὶ τοὺς ἀδελφοὺς
and woman to the own father and the brothers

ἐξειπούσης τὴν τοῦ ἀνδρὸς ἀποστροφήν, ὁ πατὴρ καὶ
having-spoken-out the of-the husband aversion the father and
οἱ αὐτάδελφοι παρευθὺς πρὸς τὸν βασιλέα παραγενόμενοι,
the full-brothers straightway to the king having-come
τοῦ γαμβροῦ αὐτῶν κατεβόων οὑτωσὶ λέγοντες· "ὦ
against-the son-in-law their cried-out thus saying O
βασιλεῦ, ἀγρὸν ἡμέτερον τῷ ἀνδρὶ τούτῳ ἐκδεδώκαμεν·
king (a)-field our to-the man this we-have-given-out
ὃν καὶ ἐπὶ πολὺν ἐργασάμενος καιρόν, νυνὶ τοῦτον
which also for long having-worked time now this
κατέλιπεν, ὥστε ὑπὸ τῆς αὐτοῦ ἀμελείας ἀποχερσωθῆναι
he-has-abandoned so-that by the his neglect to-be-made-barren
πάλιν τὸν ἀγρὸν πεποίηκεν ὡς τὸ πρότερον. διὸ καὶ
again the field he-has-made as the former(-time) wherefore also
τοῦ σοῦ κράτους δεόμεθα, ἵνα ἢ τὸν ἀγρὸν ἐργάζηται
the your majesty we-beg that either the field he-work
ὡς τὸ πρότερον, ἢ ἀποκαταστῆσαι τοῦτον εἰς ἡμᾶς."
as the former(-time) or to-restore it to us
ὁ δὲ βασιλεὺς τὴν ἔγκλησιν ταύτην ἀκηκοώς, "τί οὗτοι
the and king the complaint this having-heard what these
λέγουσι;" πρὸς τὸν ἄνδρα ἔφησε τῆς γυναικός. ὁ δὲ
say to the husband he-said of-the woman the and
ἀνὴρ τῷ βασιλεῖ ἀπεκρίνατο· "ὅσα τῷ κράτει σου
husband the king answered what(-things) to-the majesty your
παρ' αὐτῶν ἀνηνέχθη, ἀληθῆ εἰσι· τὸν γὰρ ἀγρόν, ὅν
by them were-reported true are the for field which
μοι δεδώκασιν, ὅση μοι δύναμις καλλιέργουν καὶ
to-me they-have-given as-much-as to-me (was)-power I-tilled-well and
οὐδ' ὅλως παρημέλουν· ἀλλ' ἐν μιᾷ τῶν ἡμερῶν ἐν αὐτῷ
not-even at-all neglected but on one of-the days in it
ἐργαζόμενος ἴχνη λέοντος ἐντυχεῖν με συμβέβηκεν, ἃ καὶ
working tracks of-(a)-lion to-meet me it-happened which also

θεασάμενος οὐκ ἔτι τὸ ἀπ᾽ ἐκείνου πλησιάσαι τετόλμηκα
having-seen not any-more the from that(-time) to-approach I-have-dared
τῷ ἀγρῷ.” ὁ δὲ βασιλεὺς ἐκεῖνος τῶν τοιούτων ῥημάτων
to-the field the and king that of-the such words
ἀκούσας, τῷ ἀνδρὶ τῆς γυναικὸς ἔφη· “ἀληθῶς λέγεις, ὦ
having-heard to-the husband of-the woman said truly you-speak O
ἄνθρωπε· ὁ γὰρ λέων ἐν τῷ ἀγρῷ πάντως εἰσελήλυθεν,
man the for lion into the field surely has-entered
ἀλλ᾽ οὐ κατά τι τὸν ἀγρὸν ἐλυμήνατο· ἀλλ᾽ οὐδὲ
but not in anything the field has-damaged but not-even
πάλιν ἐκεῖσε εἰσελθεῖν ἐπιχειρήσει· λοιπὸν ὡς τὸ πρότερον
again there to-enter he-will-attempt henceforth as the former(-time)
τὸν ἐκδοθέντα σοι ἀγρὸν κράτει καὶ ἀφόβως ἐργάζου.”
the given-out to-you field hold and fearlessly work(-it)

IV · THE PARROT

The first counselor adds a second tale. A man sets a talking parrot to watch his wife while he travels, and on his return it tells him of her lover. The wife blames her maid, then spends a night turning a hand mill beside the cage for thunder, flashing a mirror for lightning, and dripping a sponge for rain. In the morning the parrot reports a storm, the husband decides that it lies about everything, and he is reconciled to his wife.

Ταύτην τὴν διήγησιν ὁ πρῶτος φιλόσοφος ἀνενεγκὼν
this the narration the first philosopher having-brought-up
τῷ βασιλεῖ λέγει· “ταῦτα διηγησάμην, ὦ βασιλεῦ,
to-the king says these(-things) I-narrated O king
ἵνα γνῷς ἐξ αὐτῆς τῆς διηγήσεως, πῶς οὐ πάντα
that you-may-know from the-very the narration how not all
δεῖ τὰ κατηγορούμενα κατά τινος ἢ ὑποπτευόμενα
it-must the(-things) charged against someone or suspected

πιστεύειν ὡς ἀληθῆ, ἀλλ᾽ οὐδὲ τὰς διαβολὰς εὐκόλως
to-believe as true but not-even the slanders readily
ἀκούειν καὶ ἀνεξετάστως δικάζειν καὶ ἀποφήνασθαι. καὶ
to-hear and unexamined to-judge and to-pronounce and
ἄλλην πρὸς τούτοις, ὦ βασιλεῦ, διήγησιν ἀκουσθεῖσάν
another besides these O king narration heard
μοι διηγήσομαι τῷ σῷ κράτει. "ἀνήρ τις φυλῆς
by-me I-shall-narrate to-the your majesty (a)-man a-certain of-(the)-tribe
ἦν τῶν Ἀγαρηνῶν· οὗτος περιέργως τὰ ἐν τῇ οἰκίᾳ
was of-the Agarenes this-one curiously the(-things) in the house
τούτου καὶ ποικίλως ἀκριβολογῶν, ὄρνεόν τε ὠνήσατο
his and variously scrutinizing (a)-bird — bought
ἐνάρθρως φθεγγόμενον, ὅπερ ἡ κοινὴ συνήθεια ψιττακὸν
articulately speaking which the common usage parrot
οἶδε καλεῖν. καὶ τὸ ὄρνεον ἐν κλωβῷ βαλών, ἐν τῷ
knows-how to-call and the bird in (a)-cage having-put into the
οἰκήματι φέρων ἐφύλαττε, καὶ παρήγγειλε τῷ ὀρνέῳ
dwelling bringing(-it) he-kept(-it) and ordered the bird
προσεκτικῶς αὐτοῦ τὴν γυναῖκα ὁρᾶν· "καὶ εἴ τι δ᾽ ἂν
attentively his the wife to-watch and if anything and —
ἀπόντος μου τῆς οἰκίας ἡ γυνὴ διαπράξηται, παρατήρει
absent I from-the house the wife does watch
τοῦ ἀπαγγεῖλαί μοι." οὕτως οὖν ὁ ἀνὴρ τῷ ψιττακῷ
for-the to-report(-it) to-me thus then the man the parrot
παραγγείλας, ἐπί τινα ὁδοιπορίαν ἀπῆλθε. τότε τοίνυν
having-ordered on some journey went-away then then
τις ἄνθρωπος εἰσερχόμενος εἰς τὴν οἰκίαν, μοιχεύων
a-certain man entering into the house committing-adultery
ἦν τὴν γυναῖκα, συνειδυίας τοῦτο καὶ τῆς δούλης. ὅτε
was(-with) the wife being-privy-to this also the maidservant when
δὲ ὁ ἀνὴρ ἧκεν ἐκ τοῦ ταξειδίου, ἠρώτα τὸν ψιττακόν,
and the husband came from the journey he-asked the parrot

τί ἄρα τὴν γυναῖκα ποιοῦσαν ἐθεάσατο. ὁ δὲ ψιττακὸς
what then the wife doing it-had-seen the and parrot
πάντα τὰ τῇ γυναικὶ ἀκολάστως πραχθέντα τῷ
all the(-things) by-the wife licentiously done to-the
κυρίῳ ἐξεφώνησε. καὶ ὁ ἀνὴρ δεινῶς τὴν καρδίαν
master spoke-out and the husband terribly (in)-the heart
δηχθείς, οὐκ ἔτι αὐτὴν συνεμίγνυτο. καὶ ἡ γυνὴ τὴν
bitten not any-more with-her had-intercourse and the woman the
ἑαυτῆς δούλην ὑπέλαβε τῷ ἀνδρὶ ἀναγγεῖλαι τὰ κατ᾽
her-own maidservant supposed to-the husband to-have-reported the(-things) about
αὐτήν, καὶ προσκαλεσαμένη αὐτήν, ὀργίλως καὶ πικρῶς
her and having-summoned her angrily and bitterly
ἔλεγεν “εἰ ἀληθῶς σὺ τῷ ἀνδρί μου τὰ πραχθέντα
said if truly you to-the husband my the(-things) done
μοι πάντα ἀνήγγειλας;” ἡ δὲ δούλη μεγάλως ὤμνυεν,
by-me all reported the and maidservant greatly swore
ὡς οὐδ᾽ ὁπωσοῦν περὶ αὐτῆς τῷ κυρίῳ λελάληκεν·
that not-even in-any-way about her to-the master she-has-spoken
“ἀλλ᾽ ὁ ψιττακός, ἴσθι, κυρία, τὰ περὶ σοῦ ἅπαντα
but the parrot know lady the(-things) about you all
τῷ κυρίῳ ἐλάλησεν.” ἡ δὲ γυνὴ ταύτης ἀκούσασα τὴν
to-the master spoke the and woman from-her having-heard the
παρὰ τοῦ ὀρνέου κατηγορίαν, ἐτεχνάσατο πῶς ψευδῆ
from the bird accusation contrived how false
τὸν ψιττακὸν ἀποδείξαι τῷ ἀνδρὶ αὐτῆς. καὶ τῇ
the parrot to-show to-the husband her and on-the
ἐπιούσῃ νυκτὶ λαβοῦσα τὸν ψιττακὸν μετὰ τοῦ κλωβοῦ
following night having-taken the parrot with the cage
ἔνθα κοιμωμένη ἐτύγχανε, χειρόμυλον πλησίον τοῦ
where sleeping she-happened-to-be (a)-hand-mill near the
ψιττακοῦ θεῖσα συνέστρεφεν, ἐξ οὗ κτύπος ἠκούετο ὡς
parrot having-set she-turned from which (a)-noise was-heard like

βροντή· ἔμπροσθεν δὲ τούτου καθρέπτην περιεκύκλου τοῖς
thunder before and it (a)-mirror she-turned-about to-the
ὀφθαλμοῖς τοῦ ὀρνέου, ὡς δοκεῖν ἀστραπὰς ἀποπέμπειν·
eyes of-the bird so-as to-seem lightnings to-send-forth
σὺν τούτοις καὶ σπόγγον βεβρεγμένον ἄνωθεν τοῦ
with these(-things) also (a)-sponge soaked above the
ψιττακοῦ κρεμάσασα, σταλαγμοὺς ὕδατος ἐπάνω τούτου
parrot having-hung drops of-water upon it
ῥέειν πεποίηκεν. ὁ δὲ ψιττακὸς τούτων οὕτω γινομένων,
to-flow she-made the and parrot these(-things) thus happening
τῇ γωνίᾳ τοῦ κλωβοῦ ὑπεκρύπτετο, καὶ αὐτῷ τῷ ὀρνέῳ
in-the corner of-the cage hid and to-the-very the bird
ἐδόκει δι' ὅλης τῆς νυκτὸς ἐκείνης βρέχειν, καὶ ἀστραπὰς
it-seemed through all the night that to-rain and lightnings
καὶ βροντὰς ἀπηχεῖσθαι καὶ ἀπαυγάζεσθαι. πρωΐας οὖν
and thunders to-resound and to-flash in-the-morning then
ὁ ἀνὴρ τῆς γυναικὸς τῷ ψιττακῷ προσελθών, φησὶ πρὸς
the husband of-the woman to-the parrot having-come says to
αὐτὸν· "τί δή ποτε τῇ νυκτὶ ταύτῃ ἑώρακας;" ὁ δὲ
it what indeed ever in-the night this have-you-seen the and
ψιττακὸς ἀντέφησε· "τῆς νυκτὸς ἡ βροχὴ καὶ αἱ βρονταὶ
parrot answered in-the night the rain and the thunders
καὶ ἀστραπαὶ οὐκ ἀφείκασί με τὸ καθ' ὅλου ἰδεῖν τί ἄρα
and lightnings not have-let me the at all to-see what then
ταύτῃ τῇ νυκτὶ ἐγεγόνει." ὁ δὲ ἀνὴρ τούτους τοὺς λόγους
this the night had-happened the and husband these the words
τοῦ ὀρνέου ἀκούσας, καθ' ἑαυτὸν ἔλεγεν· "ὄντως οὐδέν
of-the bird having-heard within himself said truly nothing
ἐστιν ἀληθὲς ὅσα ἀνήγγειλέ μοι τὸ ὄρνεον, ἀλλὰ πάντα
is true which reported to-me the bird but all
ὅσα μοι ἐλάλησε ψευδῆ πεφύκασι καὶ ἀπατηλά, καθὼς ἔστι
which to-me it-spoke false have-proved and deceitful as is

φανερὸν ἐξ ὧν τὰ νῦν μοι ἀποφθέγγεται· οὐδὲν γὰρ
plain from which the(-things) now to-me it-utters nothing for
τῇ νυκτὶ ταύτῃ συμβέβηκεν, οὔτε ὑετὸς κατηνέχθη οὔτε
in-the night this has-happened neither rain was-brought-down nor
βρονταὶ ἀπηχήθησαν οὔτε ἀστραπαὶ ἀπηύγασαν· ὅθεν" φησί
thunders resounded nor lightnings flashed whence he-says
"καὶ ὅσα μοι περὶ τῆς συζύγου ὁ ψιττακὸς εἴρηκε
also what(-things) to-me about the wife the parrot has-said
ψεῦδος ἦσαν ἀληθῶς καὶ ἀπάτη." ταῦτα ἡ πονηρὰ
falsehood were truly and deceit these(-things) the wicked
ἐκείνη γυνὴ πονηρῶς τεχνευσαμένη, ἤδη, βασιλεῦ, ἀκούεις
that woman wickedly having-contrived already king you-hear
πῶς τὸν ἄνδρα ἠπάτησε καὶ τὴν ἐκείνου φρόνησιν ἐνίκησε
how the husband she-deceived and the his prudence conquered
τελείως καὶ τὸ ὄρνεον ψευδὲς ἀπέδειξε. καὶ οὕτως αὐτῇ ὁ
completely and the bird false showed and thus with-her the
ἀνὴρ διηλλάγη καὶ ὡς τὸ πρότερον ἐφίλει. γίνωσκε γάρ,
husband was-reconciled and as the former(-time) loved(-her) know for
ὦ βασιλεῦ, ὡς οὐδεὶς δεδύνηται κατά τι τῶν πονηρῶν
O king that no-one has-been-able in any(-way) the wicked
γυναικῶν περιγενέσθαι τὸ σύνολον καὶ ταύτας νικῆσαι."
women to-get-the-better-of at all and them to-conquer

The concubine warns that a hide-washer drowned trying to save his son from the river, and so will the king perish unless he kills his son first; Cyrus again orders the execution. The second counselor tells of a fastidious merchant who daily buys a girl's white loaves, until he learns that they were kneaded from dough laid on her mistress's sore. He can wash his mouth and hands, but not his belly; so the king may seek his son in vain.

Τούτων ὁ βασιλεὺς Κῦρος παρὰ τοῦ ἑνὸς φιλοσόφου
these(-words) the king Cyrus from the one philosopher
ἀκούσας, εὐθὺς ἀνεβάλλετο τὴν ἀπόφασιν, μᾶλλον δὲ
having-heard at-once postponed the sentence rather and
αὐτὴν ἀνατρέπει καὶ κελεύει μὴ ἀναιρεῖν τὸν υἱὸν αὐτοῦ. ἡ
it overturns and orders not to-destroy the son his the
μέντοι τοῦ βασιλέως πονηροτάτη παλλακὴ τῇ ἐπαύριον
however of-the king most-wicked concubine on-the next-day
πάλιν πρὸς αὐτὸν παραγενομένη καὶ παραστᾶσα τούτῳ
again to him having-come and having-stood-by him
σὺν δάκρυσιν ἡ κατάρατος ἔλεγεν· "οὐ δίκαιόν ἐστιν, ὦ
with tears the accursed(-one) said not just it-is O
βασιλεῦ, τὸν ἅπαξ γεγονότα κατάδικον καὶ τοῦ θανάτου
king the(-one) once having-become condemned and of-the death
ἔνοχον μὴ εὐθὺς ἀπολέσαι· εἰ γὰρ μὴ τὸν τοιοῦτον
liable not at-once to-destroy if for not the such
ἀναιρεῖσθαι προστάττεις, οὐδεὶς ἔσται πεποιθὼς καὶ θαρρῶν
to-be-destroyed you-order no-one will-be trusting and confident
εἰς τὴν τοῦ κράτους σου δικαιοσύνην. ἦν γάρ τις
in the of-the majesty your justice there-was for a-certain
ἀνήρ, ὦ βασιλεῦ, πλύνων δέρματα· ὃς ἔν τινι ποταμῷ
man O king washing hides who in some river
πλύνων, εἶχε σὺν αὐτῷ τὸν υἱὸν αὐτοῦ. ὁ δὲ τούτου υἱὸς
washing had with him the son his the and his son

ἐν τοῖς ὕδασι παίζων τοῦ ποταμοῦ καὶ κολυμβῶν, εὐθὺς
in the waters playing of-the river and swimming at-once
τὸν παῖδα ὁ ποταμὸς κατέκλυζε καὶ ἀπέπνιγεν. εἰσελθὼν
the boy the river was-flooding and was-choking having-gone-in
δὲ ὁ πατὴρ ὥστε τὸν παῖδα τοῦ κινδύνου ἐλευθερῶσαι,
and the father so-as the boy from-the danger to-free
σπουδὴν εἶχε τὴν πρὸς αὐτόν· σφοδρῶς δὲ τῷ ῥεύματι
zeal had the toward him vehemently and in-the current
φερόμενος ὁ ποταμὸς ἀμφοτέρους κατακλύσας ἀπέπνιξεν.
borne the river both having-flooded choked
οὕτω καὶ σὺ, βασιλεῦ, ἀπολῇ, εἰ μὴ προαπολέσεις τὸν υἱόν
thus also you king will-perish if not you-destroy-first the son
σου θανάτῳ. εἰ γὰρ ὑπερτίθεσαι τὴν ἐκείνου ἀναίρεσιν,
your by-death if for you-postpone the his destruction
μικρὸν ὅσον κατεπαρθεὶς σοῦ πάντως ἐξαναστήσεται,
(a)-little as-much(-as) having-been-elated against-you surely he-will-rise-up
καὶ μετά γε τῆς βασιλείας καὶ τῆς ζωῆς ἀποστερήσει."
and with indeed the kingdom and the life will-deprive(-you)
Τούτων ἀκούσας τῶν λόγων ὁ Κῦρος πάλιν τὸν υἱὸν
these having-heard the words — Cyrus again the son
ἀποκτανθῆναι διακελεύεται. ὁ δὲ δεύτερος φιλόσοφος
to-be-killed orders the and second philosopher
παραστὰς τῷ βασιλεῖ καὶ ἐπὶ τῆς γῆς συνήθως
having-stood-by the king and on the ground as-was-customary
προσκυνήσας, ἔφη· "βασιλεῦ, εἰς τὸν αἰῶνα ζῆθι. ἀκήκοα
having-made-obeisance said king for the age live I-have-heard
πάλιν σὲ κατὰ τοῦ σοῦ υἱοῦ θάνατον ἀποφήνασθαι· διὸ
again (that)-you against the your son death have-pronounced wherefore
καὶ δουλικῶς ἀναφέρω τῷ κράτει σου ὡς, εἰ καὶ ἑκατόν, εἰ
also as-a-slave I-refer to-the majesty your that if even (a)-hundred if
δυνατόν, προϋπῆρχόν σοι παῖδες, οὐκ ἔδει σε ἕνα
possible had-been to-you children not it-was-right (that)-you one

τούτων θανάτῳ ὑποβαλεῖν, καὶ τὸ μεῖζον ἀναιτίως· πολλῷ
of-them to-death to-subject and the greater(-thing) without-cause much
μᾶλλον ἕνα ἔχοντά σε παῖδα, πῶς σε χρὴ φιλοστόργως
more one having you child how you it-befits lovingly
τῆς ζωῆς αὐτοῦ περιέχεσθαι; σὺ δὲ τοὐναντίον ἅπαν, ὦ
to-the life his to-cling you and the-contrary entirely O
βασιλεῦ, κελεύεις ἀναιρεθῆναι αὐτόν· ὅπου γε μᾶλλον
king order to-be-destroyed him where indeed rather
πρέπει ἐρευνῆσαι πρότερον εἰ ἀληθὴς ἄρα καὶ οὐ ψευδὴς
it-befits to-search-out first if true then and not false
καὶ πανοῦργος ὑπάρχει ἡ κατ᾽ αὐτοῦ προτεθεῖσα διαβολή.
and villainous is the against him set-forth slander
σκέψαι τοιγαροῦν, ὦ δέσποτα, μή πως ἀδίκως τὸν υἱόν σου
consider therefore O master lest — unjustly the son your
φονεύσεις, καὶ πικρῶς ἐς ὕστερον μεταμεληθείς, σεαυτὸν
you-murder and bitterly to later having-repented yourself
ἀνωφελῶς αἰτιάσῃ καὶ μέμψῃ, καὶ πολλὰ ζητήσας τὸν υἱὸν
uselessly you-blame and reproach and much having-sought the son
μετὰ δακρύων καὶ πόνου οὐχ εὑρήσεις, καὶ συμβήσεταί
with tears and toil not you-will-find(-him) and will-befall
σοι ὥσπερ τινὶ ἐμπόρῳ συμβεβηκέναι λέγεται τοῦτο.
you as (to)-a-certain merchant to-have-befallen is-said this
Φασὶ γὰρ περὶ ἐκείνου, ὡς ἐάν τι ῥυπῶδες ἑώρα εἴς τι
they-say for about that(-man) that if anything filthy he-saw in any
τῶν ἐσθιομένων ἢ εἴς τι τῶν πινομένων εἰδῶν, οὐδ᾽
of-the(-things) eaten or in any of-the drunk kinds not-even
ὅλως αὐτοῦ μετελάμβανεν. ἐν μιᾷ γοῦν τῶν ἡμερῶν ἐπὶ
at-all of-it he-partook on one then of-the days on
πραγματείαν ἐξεπορεύετο καὶ εἴς τινα πόλιν καταλαβών,
business he-went-out and at some city having-arrived
ἐν αὐτῇ κατέλυσεν. εἶτα τὸν αὐτῷ ὑπηρετοῦντα νεανίσκον
in it lodged then the him serving young-man

ἐπὶ τὴν ἀγορὰν ἐκπέμπει τὰ πρὸς τροφὴν αὐτοῦ
to the market he-sends-out the(-things) for food his
ἐξωνήσασθαι. ὁ δὲ ἐντυγχάνει τινὶ νεάνιδι ἐν χερσὶ
to-buy he and meets a-certain girl in (her)-hands
φερούσῃ δύο καθαροὺς ἄρτους καὶ τούτους εἰς ἀγορὰν
carrying two clean loaves and them for market
προκαλουμένῃ τῷ βουλομένῳ παντί. τῇ γοῦν τῶν
crying to-the(-one) wishing every at-the then of-the
ἄρτων καθαρότητι καὶ τῷ τῆς θεωρίας κάλλει εὐφρανθεὶς ὁ
loaves cleanness and the of-the appearance beauty delighted the
ὑπηρέτης τοὺς ἄρτους ἠγόρασε καὶ τῷ κυρίῳ προσήνεγκεν.
servant the loaves bought and to-the master brought(-them)
ὁ δὲ ἔμπορος τοὺς ἄρτους φαγών, ηὐφράνθη πολλὰ τῇ
the and merchant the loaves having-eaten was-delighted greatly at-the
αὐτῶν τροφῇ καὶ λέγει τῷ νεανίσκῳ· "καθ' ἡμέραν ἀπὸ
their nourishment and says to-the young-man each day from
τούτων ἀγόραζέ μοι τῶν ἄρτων εἰς ἡμετέραν τροφήν." ὁ
these buy me of-the loaves for our food the
δὲ ὑπηρέτης οὕτως ἐποίει καθὼς παρηγγέλθη, ἀγοράζων
and servant thus did as be-was-ordered buying
ἀπὸ τῆς γυναικὸς ἐκείνης καὶ κομίζων τῷ κυρίῳ αὐτοῦ.
from the woman that and bringing(-them) to-the master his
μιᾷ δὲ τῶν ἡμερῶν ἀπελθὼν ὁ ὑπηρέτης εἰς τὴν
on-one and of-the days having-gone-away the servant to the
ἀγοράν, εὑρίσκει τὴν νεάνιδα μὴ ἔχουσαν τοὺς συνήθεις
market finds the girl not having the customary
ἄρτους, καὶ ἐπαναστρέψας πρὸς τὸν κύριον αὐτοῦ, λέγει
loaves and having-returned to the master his says
αὐτῷ· "γνωστὸν ἔστω σοι, κύριέ μου, ὡς ἐξ ἐκείνου
to-him known let-it-be to-you master my that of that
τοῦ ἄρτου οὐκ ἠδυνήθην εὑρεῖν· μία γὰρ νεᾶνις ἐπώλει,
the bread not I-was-able to-find one for girl was-selling(-it)

καὶ νῦν οὐκ ἔχει πωλῆσαι.” ὁ δὲ ἔμπορός φησι τῷ
and now not she-has(-it) to-sell the and merchant says to-the
ὑπηρέτῃ· “λάλησόν μοι τὸ λοιπὸν ἐκείνην τὴν νεάνιδα,
servant call for-me for-the rest that the girl
ὅπως ἡμῖν εἴπῃ πῶς τὸν τοιοῦτον καλὸν ἄρτον οὕτως
that to-us she-may-tell how the such fine bread so
ἡδύτατον κατεσκεύαζεν.” ὅθεν καὶ ὁ ὑπηρέτης φέρει τὴν
most-sweet she-prepared whence also the servant brings the
κόρην πρὸς τὸν ἔμπορον· ὅτε καὶ λέγει πρὸς τὴν κόρην
girl to the merchant when also says to the girl
ὁ ἄρχων· “λέγε, ὦ νεᾶνις, μετὰ ἀληθείας πῶς τὸν ἄρτον,
the ruler tell O girl with truth how the bread
ὃν ἐπώλεις τῷ ἐμῷ ὑπηρέτῃ, οὕτως ἡδὺν κατεσκεύαζες·
which you-were-selling to-the my servant so sweet you-were-preparing
ἐπιθυμοῦμεν γὰρ καὶ ἡμεῖς ὅμοιον ἄρτον ποιῆσαι καθὼς
we-desire for also we like bread to-make as
σὺ ἐποίεις.” ἡ δὲ γυνὴ πρὸς αὐτὸν ἔλεγεν ὡς “ἐν τοῖς
you made the and woman to him said that on the
ὤμοις τῆς κυρίας μου τραῦμά τι ἀνεφάνη, καὶ περὶ
shoulders of-the mistress my (a)-wound some appeared and concerning
τοῦ τραύματος ἐκείνης ὁ ἰατρὸς εἶπέ μοι· “καθαρώτατον
the wound her the physician said to-me purest
ἄλευρον, ὦ γύναι, φέρουσα καὶ τοῦτο βουτύρῳ καὶ μέλιτι
flour O woman bringing and it with-butter and honey
φύρουσα καὶ μιγνύουσα, ἐπιτίθει τῷ τραύματι, μέχρις ἂν
kneading and mixing lay(-it) on-the wound until —
αὐτῷ ἡ παντελὴς ὑγεία προσγένηται.” ἡ δέ γε κυρία
for-it the complete health come the and indeed mistress
μου λοιπὸν κατὰ τὴν τοῦ ἰατροῦ ἐποίει διάταξιν. ὁσάκις
my then according-to the of-the physician did prescription as-often-as
δὲ τὸ ζυμάριον τῆς πληγῆς ἀφῃρεῖτο, αὐτίκα ἔρριπτεν
and the dough from-the wound was-removed at-once she-threw

αὐτό, κἀγὼ ὕστερον τοῦτο ἐκ τῆς γῆς λαμβάνουσα
it and-I afterward it from the ground taking
εἰς ἄρτους μετεσκεύαζον· καὶ ὁ σὸς ὑπηρέτης τούτους
into loaves made-over and the your servant them
εὑρίσκων ἠγόραζε. νῦν δὲ τοῦ τραύματος τῆς κυρίας μου
finding bought(-them) now and the wound of-the mistress my
παντελῶς ὑγιάναντος, οὐκ ἔτι χρεία ἐστὶν ἐκεῖνον τὸν
completely having-healed not any-more need is that the
ἄρτον κατασκευάζειν.” τούτων ἀκούσας τῶν λόγων, ὁ
bread to-prepare these having-heard the words the
ἔμπορος πικρότατα βδελυξάμενος, ἀποθανεῖν παρεκάλει καὶ
merchant most-bitterly having-loathed(-it) to-die begged and
καθ’ ἑαυτὸν διαπορούμενος τίνα θεραπείαν ἐπιθήσει τῷ
within himself being-at-a-loss what remedy he-should-apply to-the
πράγματι, ἔλεγε πρὸς ἑαυτόν· “τὸ μὲν στόμα καὶ τὰς
matter said to himself the indeed mouth and the
χεῖρας εὐκόλως ἀπονίψασθαι ἔχω, τὴν δὲ κοιλίαν ἔνδοθεν
hands easily to-wash-off I-can the but belly within
ἐκκαθᾶραι οὐκ ἔχω.” οὕτως οὖν, ὦ βασιλεῦ, πεφόβημαι
to-cleanse not I-can thus then O king I-fear
μή πως ὅμοιόν τι τῷ ἐμπόρῳ τὸ σὸν πάθῃ κράτος,
lest — like something to-the merchant the your suffer majesty
καὶ ζητήσεις τὸν υἱόν σου ὡς ἐκεῖνος τοὺς ἄρτους καὶ
and you-will-seek the son your as he the loaves and
οὐχ εὑρήσεις.”
not you-will-find(-him)

The second counselor tells of a woman whose lover, a soldier, arrives while his slave is with her. When her husband comes, she sends the lover out brandishing his sword and tells him she saved a fugitive slave from his master. The concubine answers with a prince sent alone after a wild ass by a counselor; a girl claiming to be a princess fallen from an elephant is a lamia leading him to her kind. He prays to Christ, she falls helpless, and he escapes.

Ταῦτα ὁ δεύτερος σύμβουλος τῷ βασιλεῖ γε εἰπών,
these(-things) the second counselor to-the king indeed having-said
προσέθηκε τοῖς αὐτοῦ λόγοις καὶ τοῦτο, ὡς "τῶν
added to-the his words also this that of-the
γυναικῶν τοὺς δόλους, ὦ βασιλεῦ, πολλοὺς καὶ ποικίλους
women the wiles O king many and various
εἶναι ἀκήκοα, ἐξ ὧν ἕνα τρόπον κακίας γυναικὸς
to-be I-have-heard of which one manner of-wickedness of-(a)-woman
παρατίθημι εἰς διήγησιν. γυνή τις ἦν, ἔχουσα φίλον
I-set-before(-you) in narration woman a-certain was having (a)-friend
κατ' ἔρωτα, ὃς καὶ ὑπῆρχεν εἷς τῶν τοῦ βασιλέως
in love who also was one of-the of-the king
στρατιωτῶν. ἔτυχε γοῦν τὸ κατ' ἐκεῖνο καιροῦ τὸν
soldiers it-happened then the at that time the
στρατιώτην πέμψαι τὸν δοῦλον αὐτοῦ πρὸς τὴν ἐρωμένην
soldier to-send the slave his to the beloved
καὶ πυθέσθαι αὐτῇ εἰ καιρὸς ἁρμόδιός ἐστιν, ἀπόντος τοῦ
and to-inquire of-her if (the)-time fitting is being-absent the
ἀνδρὸς αὐτῆς, τὸν κύριον τούτου παραγενέσθαι. ὅτε καὶ
husband her the master his to-come when also
ἡ ἀσελγὴς γυνὴ ἐρασθεῖσα τοῦ δούλου εἰς μῖξιν
the lewd woman having-fallen-in-love-with the slave into intercourse
τοῦτον ἐλθεῖν κατηνάγκασε. τούτου οὖν γενομένου καὶ
him to-come compelled this then having-happened and

τοῦ δούλου χρονίζοντος ἀπελθεῖν πρὸς τὸν κύριον αὐτοῦ
the slave delaying to-go-away to the master his
καὶ ἀπαγγεῖλαι τί γέγονεν, ὁ κύριος παρεγένετο πρὸς
and to-report what has-happened the master came in
ζήτησιν τοῦ δούλου. ἡ δὲ γυνὴ αἰσθομένη τοῦτο, λέγει
search of-the slave the and woman having-perceived this says
τῷ δούλῳ· "εἴσελθε σὺ εἰς τὸ ἐσώτερον οἴκημα." καὶ
to-the slave go-in you into the inner dwelling and
τούτου γενομένου, ὁ κύριος τοῦ δούλου ἐλθὼν πρὸς
this having-happened the master of-the slave having-come to
αὐτὴν συνεμίγνυτο. οὕτως οὖν ἐκείνων συμφθειρομένων
her was-having-intercourse thus then they being-corrupted-together
καὶ τοῦ δούλου ἔσω προσκαρτεροῦντος, ἐξαίφνης ὁ τῆς
and the slave inside waiting suddenly the of-the
γυναικὸς ἀνὴρ παρεγένετο. ἡ δὲ μοιχαλὶς φοβουμένη
woman husband arrived the and adulteress fearing
τὸν μοιχὸν εἰσάξαι εἰς τὸ ἐνδότερον καὶ αὐτόν, μή πως
the adulterer to-bring-in into the inner(-room) and him lest —
θεάσαιτο τὸν ἑαυτοῦ δοῦλον, ἀλλοτρόπως ἐνόησε τὰ
he-should-see the his-own slave otherwise thought the(-things)
καθ' ἑαυτὴν ἐξοικονομῆσαι, καὶ λέγει πρὸς τὸν μοιχόν·
concerning herself to-manage and says to the adulterer
"γύμνωσόν σου τὴν σπάθην καὶ μετὰ θυμοῦ, φέρων
bare your the sword and with rage carrying
ἐν χερσὶ τὴν μάχαιραν γυμνήν, προσποιητῶς ὕβριζε
in (your)-hands the knife naked feignedly abuse
κἀμὲ καὶ τοῦ οἰκήματος ἐξέρχου, τὸν δὲ ἄνδρα μου
also-me and from-the dwelling go-out the and husband my
μηδέν τι ὅλως λαλήσῃς." καὶ ὁ μοιχὸς αὐτίκα τοῦτο
nothing anything at-all speak(-to) and the adulterer at-once this
ἐποίησε, καὶ ξιφηφόρος τῆς οἰκίας ἐξερχόμενος τὴν
did and sword-bearing from-the house going-out the

γυναῖκα καθύβριζεν. ὁ δὲ κύριος τοῦ οἴκου εἰσελθὼν ἔνθα
woman was-abusing the and master of-the house having-entered where
καὶ ἡ γυνὴ διέτριβεν, ἐπηρώτα αὐτὴν λέγων· "τίς ἡ
also the wife was-spending-time asked her saying what(-is) the
τοῦ ξένου τούτου ἔλευσις πρὸς τὴν οἰκίαν ἡμῶν, ὦ γύναι,
of-the stranger this coming to the house our O wife
καὶ αἱ ὕβρεις πρὸς σὲ αἱ μετὰ ξίφους;" ὅτε καὶ ἡ γυνὴ
and the insults against you those with (a)-sword when also the woman
"τούτου τοῦ ξένου ὁ δοῦλος" ἔφη "φεύγων κατέφυγεν εἰς
of-this the stranger the slave said fleeing took-refuge in
τὴν οἰκίαν ἡμῶν σύντρομος, φονευθῆναι δειλιῶν· καὶ παρ᾽
the house our trembling to-be-murdered fearing and by
ἐμοῦ τοῦ δούλου κρυφθέντος, ὁ κύριος τούτου χειρὶ
me the slave having-been-hidden the master his with-hand
βιαίᾳ ἐπειρᾶτο τοῦτον λαβεῖν καὶ φονεῦσαι. ἐμοῦ δὲ τοῦτον
violent tried him to-take and to-murder I but him
ἐμποδιζούσης ἐνδότερον εἰσελθεῖν, ἵστατο, ὡς οἶδας, μετὰ
hindering inside to-enter he-stood as you-know with
θράσους καθυβρίζων με, ἀνῃρημένος τὴν σπάθην." ὁ δὲ
insolence abusing me having-taken-up the sword the and
ἀνὴρ λέγει· "ποῦ ἐστιν ὁ δοῦλος;" ἡ δὲ γυνὴ "ἔσω" ἔφη
husband says where is the slave the and wife inside she-said
"τοῦ ἐνδοτέρου οἰκήματος." τοῦ δὲ οἰκοδεσπότου ἐξελθόντος
of-the inner dwelling the and master-of-the-house having-gone-out
θεάσασθαι εἰ ὁ δεσπότης τοῦ δούλου ὑπανεχώρησε, καὶ
to-see if the master of-the slave had-withdrawn and
ἄνω καὶ κάτω συστρέψας οὐκ εἶδεν αὐτόν· τότε στραφεὶς
up and down having-turned-about not saw him then having-turned
βλέπει τὸν δοῦλον καὶ λέγει αὐτῷ· "ἄπελθε τὸ λοιπὸν
he-sees the slave and says to-him go-away the rest
ἐν εἰρήνῃ· ὁ γὰρ κύριός σου μακρὰν ἀπὸ τῶν ὧδε
in peace the for master your far from the(-places) here

ἐγένετο." καὶ στραφεὶς πρὸς τὴν γυναῖκα λέγει· "μεγάλην
has-gone and having-turned to the wife says great
εὐεργεσίαν ὑπολαμβάνω τῷ δούλῳ τούτῳ ποιῆσαί σε." καὶ
(a)-kindness I-take(-it) to-the slave this to-have-done you and
ἰδού, ὦ βασιλεῦ, ἀπεδείχθη τῷ κράτει σου ὡς οὐ πρέπει
behold O king it-has-been-shown to-the majesty your that not it-befits
καθόλου τοῖς τῶν γυναικῶν ἀπατηλοῖς λόγοις ἀκολουθεῖν."
at-all the of-the women deceitful words to-follow
Τούτων πάλιν ὁ βασιλεὺς παρὰ τοῦ δευτέρου ἀκούσας
these again the king from the second having-heard
φιλοσόφου τῶν λόγων, κελεύει τὸν υἱὸν αὐτοῦ μὴ
philosopher the words orders the son his not
ἀναιρεθῆναι. ἡ δὲ πονηρὰ γυνὴ πάλιν τὴν ἀναβολὴν
to-be-destroyed the and wicked woman again the postponement
μαθοῦσα τῆς ἀναιρέσεως, παρέστη αὖθις τῷ βασιλεῖ
having-learned of-the destruction stood-by again to-the king
κατὰ τὴν τρίτην ἡμέραν καὶ λέγει αὐτῷ· "ὦ βασιλεῦ,
on the third day and says to-him O king
οἱ σοφώτατοί σου σύμβουλοι μᾶλλόν εἰσι μωροὶ καὶ
the wisest your counselors rather are fools and
κακότροποι, καὶ πολλήν σοι τὴν βλάβην ποιῆσαι
ill-mannered and much to-you the harm to-do
δοκιμάζουσιν." καὶ ὁ βασιλεὺς ἔφη πρὸς αὐτήν· "πῶς,
they-are-attempting and the king said to her how
ὦ γύναι;" ἡ δὲ ἔφη· "ἦν γάρ τις, ὡς λέγεται,
O woman she and said there-was for a-certain as is-said
βασιλεύς, ἔχων υἱὸν κατὰ πολὺ τὰ κυνηγέσια ὀρεγόμενον·
king having (a)-son by much the hunts longing-for
καὶ μιᾷ τῶν ἡμερῶν ἔφη ὁ υἱὸς τὸν τοῦ πατρὸς
and on-one of-the days said the son (to)-the of-the father
αὐτοῦ σοφώτατον σύμβουλον· "ζήτησον τὸν βασιλέα τὸν
his wisest counselor ask the king the

πατέρα μου, ἵνα μοι ὁρίσῃ ἐξελθεῖν εἰς κυνήγιον.” ὁ
father my that for-me he-ordain to-go-out to (a)-hunt the
δὲ σύμβουλος ζητεῖ τοῦτο παρὰ τοῦ βασιλέως· καὶ ὁ
and counselor asks this from the king and the
βασιλεὺς ἀπεκρίνατο· “ἐὰν καὶ σὺ μετὰ τοῦ υἱοῦ μου
king answered if also you with the son my
ἐξέλθῃς, γενέσθω τὸ αἴτημά σου.” ἐξέρχεται οὖν μετὰ
go-out let-be the request your goes-out then with
τοῦ υἱοῦ τοῦ βασιλέως ὁ τοῦ πατρὸς σύμβουλος, καὶ
the son of-the king the of-the father counselor and
ἀμφότεροι ἐπορεύοντο. καὶ ὁρῶσί τινα ὄναγρον ἐν τῷ
both were-going and they-see a-certain wild-ass on the
ὄρει, καὶ λέγει ὁ σύμβουλος τῷ παιδί· “καταδίωξον
mountain and says the counselor to-the boy pursue
ὀπίσω τοῦ ὀνάγρου, καὶ σὺ μόνος αὐτὸν κυνήγησον.”
behind the wild-ass and you alone him hunt
ὁ δὲ παῖς ἐδίωκε τὸν ὄναγρον. καὶ οὕτως, δρομαίως
the and boy was-pursuing the wild-ass and thus at-a-run
διώκων, μόνος ἐγένετο τῶν συντρόφων, καὶ μὴ εἰδὼς
pursuing alone became from-the companions and not knowing
τὴν ὁδὸν ἐν ᾗ πορεύεται, μίαν ὁδὸν εὑρών, ταύτην
the road on which he-goes one road having-found it
ἐβάδιζεν. εἶτα εὑρίσκει κατὰ τὴν ὁδὸν γυναῖκα θρηνοῦσαν
he-walked then he-finds along the road (a)-woman lamenting
νεάνιδα καί φησι πρὸς αὐτήν· “ὦ γύναι, τί κλαίεις; πόθεν
young and says to her O woman why do-you-weep whence
εἶ σύ;” ἡ δὲ νεᾶνις λέγει αὐτῷ· “βασιλέως εἰμὶ θυγάτηρ.
are you the and girl says to-him of-(a)-king I-am (the)-daughter
καὶ ἐπὶ ἐλέφαντος ἐκαθήμην καὶ τούτου ἐξολισθήσασα
and on (an)-elephant I-was-sitting and from-it having-slipped
ἔπεσον, μηδαμῶς ἐννοήσασα πῶς ἔπεσον. καὶ μόλις τοῦ
I-fell in-no-way having-perceived how I-fell and hardly from-the

πτώματος ἀνένευσα καὶ ἀναβλέψασα ἰδεῖν τινα τῶν ἐμῶν
fall I-raised-my-head and having-looked-up to-see any of-the my
οἰκετῶν, οὐδένα ἑώρακα. ἔκτοτε πλανηθεῖσα, οὐκ οἶδα
servants no-one I-have-seen thenceforth having-wandered not I-know
ποῦ καὶ πόθεν πορεύομαι, καὶ ἔτρεχόν γε σφοδρῶς,
where and whence I-go and I-was-running indeed hard
ἕως οὗ τὰ νῦν ἠγανάκτησα." ταῦτα τῆς κόρης
until — the(-time) now I-was-exhausted these(-things) the girl
εἰπούσης, ὁ τοῦ βασιλέως υἱὸς ἐλεήσας αὐτήν, ὄπισθεν
having-said the of-the king son having-pitied her behind
τοῦ ἑαυτοῦ ἀνεβίβασεν ἵππου. ἡ δὲ κόρη τούτοις τοῖς
the his-own he-mounted(-her) horse the and girl by-these the
λόγοις αὐτὸν ἀπατήσασα, παρεσκεύασε διαφθεῖραι αὐτὸν
words him having-deceived contrived to-destroy him
ἐπί τινι ἀοίκῳ καταλύματι. καὶ λέγει τῷ νεανίσκῳ·
at some uninhabited lodging and says to-the young-man
"χρεία μοι ἐστὶν ἐν τῷδε εἰσελθεῖν." καὶ καταγαγόντος
need for-me is in this to-enter and he-having-brought-down
αὐτὴν τοῦ ἵππου καὶ εἰσελθούσης ἐκείνης, ἀκούει ὁ παῖς
τις τῶν ἀνθρώπων οὐ τελείαν λάβῃ τὴν φρόνησιν καὶ τὴν
any of-the men not perfect takes the prudence and the
μάθησιν, οὐκ ἀποδίδωσιν ἀγαθὰ τοῖς εὐεργέταις αὐτοῦ
learning not he-renders good(-things) to-the benefactors his
καὶ διδασκάλοις· τὸν δὲ ἀμαθῆ καὶ ἀπαίδευτον ἄνθρωπον
and teachers the and unlearned and uneducated man
ἄγνωστον καὶ ἄφρονα παντελῶς ὀνομάζειν πρέπει, ἀλλ'
ignorant and foolish altogether to-name it-befits but
οὐδαμῶς καλόνουν καὶ γνωστικόν. ὁ δὲ διδάσκαλός μου
in-no-way right-minded and knowing the and teacher my
Συντίπας σπουδαίως καὶ ἀκριβῶς ἐπιμελησάμενός μου,
Syntipas zealously and precisely having-cared-for me
δοκιμώτατόν με τῇ φιλοσοφίᾳ, δυνάμει θεοῦ, καὶ τῇ
most-approved me in-the philosophy by-(the)-power of-God and in-the
γνώσει κατέστησε· καὶ πρέπει τοῦτον παρὰ τοῦ σοῦ
knowledge established and it-befits him from the your
κράτους ἀξίαν τῆς σπουδῆς καὶ ἐπιμελείας λαβεῖν καὶ τὴν
majesty worthy of-the zeal and care to-take and the
ἀμοιβήν. ἐπειδὴ δέ, ὦ βασιλεῦ, καὶ οὗτοί σου οἱ φιλόσοφοι
recompense since and O king also these your the philosophers

συμμαρτυροῦσί μοι, ὅτι ὑπερβάλλω τούτους τοῖς λόγοις,
bear-witness-with me that I-surpass them in-the words
δέομαί σου ἀκριβῶς ἀκροάσασθαι τῆς διηγήσεως ταύτης·
I-beg you precisely to-listen-to the narration this

XX · THE THREE-YEAR-OLD AND THE FIVE-YEAR-OLD

The prince tells of two children and an old man. A rake comes to seduce a mother while her three-year-old weeps for more rice; the child shows that his tears clear his eyes and nose and earn him food, and the man leaves ashamed. Three merchants leave gold with an old woman, to be returned only to all three; one tricks her out of it. A boy of five tells her to answer that all three must come, and the judge makes him a teacher.

δύο παιδία ἦσαν ἔν τινι τόπῳ, τὸ μὲν ἓν χρόνων πέντε,
two children there-were in some place the indeed one of-years five
τὸ δὲ ἕτερον τριῶν. ἦν δὲ καί τις ἀνὴρ γηραιὸς
the and other of-three there-was and also a-certain man old
καὶ καμπούρης, ἅμα δὲ καὶ παράλυτος, ὅστις ἦτον
and hunchbacked at-the-same-time and also paralyzed who was
γεμάτος τῇ φρονήσει καὶ νοήμασι, σὺν τοῖς παισὶν ἐκείνοις."
full of-the prudence and thoughts with the children those
ὁ δὲ βασιλεὺς ἀνακόψας τὸν λόγον τῆς διηγήσεως λέγει
the and king having-cut-short the word of-the narration says
τῷ υἱῷ· "καὶ τίς ἦν, τέκνον, ἡ ἐκείνων ὑπόθεσις;"
to-the son and what was child the their story
ἀναλαβὼν δὲ πάλιν ὁ παῖς ἀρχῆθεν τὸν λόγον λέγει·
having-taken-up and again the child from-the-beginning the word says
"ἀνήρ τις ἦν πανοῦργος λίαν καὶ πόρνος· ὅταν δὲ
(a)-man a-certain there-was villainous very and whoring when and
ἤκουε περὶ γυναικὸς εὐμόρφου, πρὸς ἐκείνην εὐθὺς ἐπορεύετο
he-heard about (a)-woman comely to her at-once he-went

ἕνεκεν ὁμιλίας. ἐδηλώθη οὖν αὐτῷ μιᾷ τῶν ἡμερῶν
for-the-sake-of company it-was-made-known then to-him on-one of-the days
περί τινος γυναικὸς κατὰ πολὺ ὡραίας· καὶ ἅμα πρὸς
about a-certain woman by much beautiful and at-once to
ἐκείνην ἀπῆλθε τοῦ συμμιγῆναι αὐτῇ. εἶχε δὲ ἡ γυνὴ
her he-went-away for-the to-lie-with her had and the woman
παῖδα τριετῆ ὄντα. ἔτυχε δὲ τῇ ὥρᾳ ἐκείνῃ λέγειν
(a)-child three-year-old being it-happened and at-the hour that to-say
τὸν παῖδα τῇ μητρί· "ποίησόν μοι μαγέρευμά τι φαγεῖν."
the child to-the mother make me (a)-dish some to-eat
ἡ δὲ γυνὴ ὁρῶσα τὸν ἄνδρα σπουδάζοντα πρὸς μῖξιν,
the and woman seeing the man hastening toward intercourse
λέγει αὐτῷ· "ὀλίγον μοι ἀκαρτέρησον, ἄνθρωπε, ἕως οὗ
says to-him (a)-little for-me wait man until —
τὸ παιδάριον ἀναπαύσω." ὁ δὲ λέγει τῇ γυναικί· "κατὰ
the little-child I-settle he and says to-the woman for
τὸ παρὸν τὴν τοῦ παιδός σου φροντίδα ἔασον καὶ τὰ
the present the of-the child your care let-be and the(-things)
τῆς ἐπιθυμίας μου πλήρωσον, μή πως ἀργήσω." ἡ δὲ
of-the desire my fulfill lest — I-be-delayed she and
ἀντέφησεν· "ἐὰν ἐγίνωσκες, ὦ ἄνθρωπε, τὴν γνῶσιν τούτου
answered if you-knew O man the knowledge of-this
μου τοῦ παιδός, οὐκ ἄν μοι τοιαῦτα ἔλεγες ῥήματα."
my the child not — to-me such you-would-say words
καὶ ταῦτα εἰποῦσα, διὰ συντόμων ἐγείρεται καὶ ὀρύζιον
and these(-things) having-said in short(-order) she-rises and rice
ἑψήσασα τῷ παιδὶ παρέθηκεν. ὁ δὲ παῖς, εἰ καὶ πολλὰ
having-boiled for-the child set-before(-him) the and child if also much
μικρὸς οὐκ ἦτον, ἀλλ' οὖν ὑπῆρχε κλαίων καὶ τὴν μητέρα
small not was but then he-was weeping and the mother
ἠνάγκαζε παραθεῖναι αὐτῷ πλεῖον ὀρύζιον· ἔλεγε γὰρ ὅτι
compelled to-set-before him more rice he-said for that

"ἀκμὴν οὐκ ἐχόρτανα, ἀλλ' ὀρέγομαι περισσότερον." καὶ
still not I-was-filled but I-crave more and
ἡ μήτηρ ἐποίησε τὸ θέλημα τοῦ παιδίου. ὁ δὲ παῖς
the mother did the will of-the child the and child
πάλιν θέλων καὶ ἕτερον παράθεμα, πρὸς τὴν μητέρα
again wanting also another serving to the mother
ἐθρήνει. ὁ μέντοι ἀκόλαστος ἐκεῖνος λυπούμενος ἐπὶ τῇ
lamented the however licentious that(-man) grieving at the
τοῦ παιδὸς ἀνάγκῃ καὶ τῷ κλαυθμῷ, λέγει πρὸς αὐτόν·
of-the child insistence and the weeping says to him
"πολλὰ εἶσαι, ὦ παῖ, ἀναίσχυντος καὶ ἀχόρταστος καί,
much you-are O child shameless and insatiable and
ὡς ὁρῶ, γνῶσιν ὅλως οὐκ ἔχεις. εἰ γὰρ τὸ τοσοῦτον
as I-see knowledge at-all not you-have if for the so-much
ἕψημα παρετίθετο πέντε ἀνδράσι, καὶ ἀρκετὸν ἦν αὐτοῖς
boiled(-food) was-set-before five men also sufficient it-was for-them
ὥστε κορέσαι." ὁ δὲ παῖς αὐτῷ εἶπεν· "ἐκεῖνος μᾶλλον
so-as to-satisfy the and child to-him said that(-one) rather
ἐστέρηται φρονήσεως, ὅστις ἑαυτῷ ἐπιζητεῖ, καθάπερ σὺ
is-deprived of-prudence who for-himself seeks as you
νῦν τῇ ἐμῇ μητρί· λέγεις γὰρ ἀπρεπῶς καὶ πρᾶξιν
now from-the my mother you-speak for improperly and (a)-deed
μεταδιώκεις ἣν ὁ θεὸς μεμισημένην ἔχει καὶ βδελύττεται.
you-pursue which — God hated holds and loathes
ἐν ἐμοὶ δὲ τί ὁρᾷς φρονήσεως ἐστερημένον; ἀλλὰ καὶ
in me but what do-you-see of-prudence deprived but also
ἀπὸ τοῦδέ μου τοῦ κλαυθμοῦ, ὅπερ ἀναισχυντίαν καλεῖς,
from this my the weeping which shamelessness you-call
τίνα ὅλως νομίζεις ζημίαν πανθάνειν με; μᾶλλον μὲν
what at-all do-you-think harm to-suffer me rather indeed
οὖν καὶ οἱ ὀφθαλμοί μου διὰ τῶν δακρύων καθαρθέντες
then also the eyes my through the tears cleansed

ἐπὶ πλεῖον διεφωτίσθησαν, καὶ οἱ μυκτῆρές μου τῆς ἐν
even more were-brightened and the nostrils my of-the in
αὐτοῖς ἀκαθαρσίας ἐκαθαρίσθησαν, καὶ τὸ παρατεθέν μοι
them uncleanness were-cleansed and the set-before me
ἑψητὸν πρὸς τροφὴν διὰ τοῦ κλαυθμοῦ μου, εἴ τι
boiled(-food) for nourishment through the weeping my if anything
καὶ ἤθελον, εὐκόλως μοι ἦλθε." τούτων τῶν λόγων τοῦ
also I-wished easily to-me came these the words of-the
παιδὸς ἀκούσας ὁ ἀνὴρ ἐνόησεν ὡς τὸ παιδίον μεῖζόν ἐστι
child having-heard the man understood that the child greater is
τῇ γνώσει ἢ αὐτός, καὶ ἀναστὰς αὐτίκα προσεκύνησεν
in-the knowledge than he and having-risen at-once made-obeisance-to
αὐτό, εἰπὼν πρὸς αὐτό· "ἀξιῶ, μὴ κατηγορήσῃς
it having-said to it I-ask (that)-not you-accuse
με περὶ ὧν ἐλάλησα πρὸς σέ· οὐ γὰρ ἐγίνωσκον ὅτι
me about what I-spoke to you not for I-knew that
τοσαύτην ἔχεις τὴν φρόνησιν." καὶ ταῦτα εἰπὼν
such you-have the prudence and these(-things) having-said
ἀπῆλθε, μηδὲν ἀπρεπὲς ἐπὶ τῇ μητρὶ αὐτοῦ ἐργασάμενος.
went-away nothing unseemly on the mother his having-done
Ἄκουσον δέ, ὦ βασιλεῦ, καὶ περὶ τοῦ πενταετοῦς παιδὸς
hear and O king also about the five-year-old child
τῆς διηγήσεως. ἄνδρες πραγματευταὶ ὑπῆρχον τρεῖς,
the narration men merchants there-were three
οἵτινες καὶ πρὸς ἀλλήλους εἶχον συντροφίαν. καὶ ἀπῆλθον
who also toward one-another had partnership and went-away
εἰς χώραν τινὰ διὰ πραγματείαν. τῆς ὁδοιπορίας
to country a-certain for trade the journey
οὖν ἀρξάμενοι κατῆλθον εἰς χωρίον, ὥστε ἐν αὐτῷ
then having-begun they-came-down to (a)-village so-as in it
μεῖναι, εὑρόντες οἰκίαν γραΐδος τινός. μετὰ δὲ τὸ
to-stay having-found (a)-house of-(an)-old-woman a-certain after and the

ἀναπαύσασθαι αὐτούς, ἔδοξεν ἀπελθεῖν εἰς βαλανεῖον
to-rest them it-seemed(-good) to-go-away to (a)-bath
καὶ λουθῆναι· καὶ λέγουσι τῇ γραΐδι· "ἑτοίμασον ἡμῖν, ὦ
and to-be-washed and they-say to-the old-woman prepare for-us O
γύναι, τὰ πρὸς τὸ λοετρὸν χρειώδη, σκεύη τε καὶ ἱμάτια."
woman the for the bath needful vessels both and garments
μόνου δὲ τοῦ κτενὸς ἐπελάθοντο. εἶτα οἱ πραγματευταὶ
only and the comb they-forgot then the merchants
βαλόντες ἅπερ εἶχον, χρυσίον καὶ ἀργύριον, εἰς βαλάντια
having-put what they-had gold and silver into purses
τρία, δεδώκασι τῇ γραΐδι εἰπόντες αὐτῇ· "ὦ γύναι, λάβε
three gave(-them) to-the old-woman having-said to-her O woman take
ταῦτα τὰ τρία βαλάντια τοῦ χρυσοῦ καὶ φύλαττε καλῶς
these the three purses of-the gold and guard(-them) well
ἐν ἑαυτῇ, καὶ μηδὲν ἀπὸ τούτων δώσῃς τινὶ ἀφ' ἡμῶν,
with yourself and nothing from these give to-anyone of us
εἰ μὴ νὰ ἴδῃς καὶ τοὺς τρεῖς ἡμᾶς." ταῦτα εἰπόντες,
if not that you-see also the three us these(-things) having-said
ἀπῆλθον εἰς τὸ βαλανεῖον, καὶ ἐν τῇ ὁδῷ ἰδόντες ὅτι
they-went-away to the bath and on the road having-seen that
κτένιον οὐ κρατοῦσι, στέλλουσιν ἕνα ἀπ' αὐτοὺς πρὸς τὴν
(a)-comb not they-hold they-send one of them to the
γραῖαν τοῦ λαβεῖν τὸ κτένιον. ὁ δὲ πεμφθεὶς εἰς τὴν
old-woman for-the to-get the comb he and having-been-sent to the
γραῦν λέγει αὐτήν· "οἱ σύντροφοί μου μηνοῦσί σε δι'
old-woman says (to)-her the partners my send-word-to you through
ἐμοῦ· Πέμψον ἡμῖν τὸ χρυσίον τό σε ἐδώκαμεν." ἡ δὲ
me send to-us the gold which you we-gave the and
γυνὴ λέγει τῷ ἀνδρί· "οὐδαμῶς δώσω σοι, ἕως οὗ
woman says to-the man by-no-means I-will-give(-it) to-you until —
ἔλθετε καὶ οἱ τρεῖς ὁμοῦ." καὶ ὁ ἀνήρ "ἰδού," λέγει "οἱ
you-come also the three together and the man look says the

σύντροφοί μου μακρόθεν κατ᾽ ὄψιν σου ἵστανται, καὶ ἐκεῖνοι
partners my from-afar in sight your stand and they
λέγουσί σοι δοῦναί μοι τὸ χρυσίον.᾽᾽ καὶ ταῦτα εἰπὼν
tell you to-give me the gold and these(-things) having-said
τῇ γραΐδι, στρέφεται πρὸς τοὺς συντρόφους αὐτοῦ καὶ
to-the old-woman turns toward the partners his and
λέγει αὐτοῖς ἀνωνύμως ᾽᾽οὐ δίδει μοι ἡ γραῦς,᾽᾽ μήτε
says to-them without-naming(-it) not gives me the old-woman either
κτένιον εἰπὼν μήτε χρυσίον. ἐκεῖνοι δὲ νομίσαντες τὸ
(the)-comb having-said or gold they and having-supposed the
κτένιον ζητεῖν αὐτόν, λέγουσι τῇ γραΐδι μετὰ νεύματος
comb to-seek him say to-the old-woman with (a)-nod
᾽᾽δός, γύναι, αὐτό.᾽᾽ ἡ δὲ ἐκβαλοῦσα τὸ χρυσίον δέδωκεν
give(-it) woman it she and having-brought-out the gold gave(-it)
αὐτῷ. ὁ δὲ τοῦτο λαβὼν εὐθέως ἀπ᾽ ἐκεῖσε ἔφυγεν. οἱ
to-him he and this having-taken at-once from there fled the
δὲ σύντροφοι αὐτοῦ περιμένοντες αὐτόν, οὐκ ἦλθε· καὶ
and partners his waiting-for him not he-came and
μεγάλῃ φωνῇ λέγουσι τῇ γραΐδι· ᾽᾽ποῦ ἐστιν ὁ σύντροφος
with-loud voice they-say to-the old-woman where is the partner
ἡμῶν, ὃν ἀπεστείλαμεν εἰς σέ, καὶ οὐδ᾽ ὅλως εἰς ἡμᾶς
our whom we-sent to you and not at-all to us
ἀνεφάνη;᾽᾽ ἡ δὲ γραῦς εἶπε τοῖς ἀνθρώποις ἐκείνοις ὡς
he-appeared the and old-woman said to-the men those that
᾽᾽τὸν θησαυρὸν παρ᾽ ἐμοῦ λαβὼν κατὰ τὴν ἰδικήν σας
the treasure from me having-taken according-to the own your
φωνὴν καὶ τὸν λόγον, διέβη ἀπὸ τὸ ὁσπίτι μου· ἐμοῦ
voice and the word he-went-off from the house my me
γὰρ τὸ χρυσίον αὐτῷ μὴ διδούσης, ὑμεῖς προσεφωνήσατέ
for the gold to-him not giving you called-out
μοι· ‘Δὸς αὐτῷ τὸ ζητούμενον παρ᾽ αὐτοῦ.’ καὶ ἐγὼ
to-me give to-him the(-thing) asked from him and I

κατὰ τὸν λόγον ὑμῶν δέδωκα τὸ βαλάντιον.” οἳ
according-to the word your gave the purse they
δὲ ἀντεῖπον τῇ γυναικί· “ἡμεῖς τοῦ λαβεῖν ἀπὸ σοῦ
and retorted to-the woman we for-the to-take from you
κτένιον ἐπέμψαμεν.” ἡ δὲ γραῦς, “οὐ κτένιον ἐζήτει,”
(a)-comb sent the and old-woman not (a)-comb he-sought
φησίν “ἀλλὰ τὸ χρυσίον ὑμῶν ἀπ᾽ ἐμοῦ ἐζήτησεν ὡς
she-says but the gold your from me he-demanded as
ἀπὸ ἰδικοῦ σας θελήματος· ἐμοῦ δὲ μὴ πιστευσάσης
from own your will me and not having-believed
ἐκεῖνον ἀληθῆ λέγειν, ὑμεῖς διὰ νεύματος προετρέψασθέ
that(-man) true to-say you by (a)-nod urged
με ὕστερον δοῦναι αὐτῷ, κἀγὼ ἐκβαλοῦσα δέδωκα.”
me afterward to-give(-it) to-him and-I having-brought-out gave(-it)
ταῦτα οἱ πραγματευταὶ παρὰ τῆς γυναικὸς ἀνελπίστως
these(-things) the merchants from the woman beyond-hope
ἀκούσαντες καὶ πικρῶς τῇ λύπῃ κρατηθέντες, λαβόντες
having-heard and bitterly by-the grief overcome having-taken
εὐθὺς ἀνάρπαστον τὴν γραΐδα, πορεύονται πρὸς τὸν τῆς
at-once seized the old-woman they-go to the of-the
χώρας ἐκείνης ἄρχοντα καὶ αὐτῷ τὰ τοῦ πράγματος
country that ruler and to-him the(-things) of-the matter
διηγοῦνται μετὰ λύπης. ὁ δὲ ἄρχων ἔφη τῇ γυναικί· “δὸς
they-relate with grief the and ruler said to-the woman give
τοῖς ἀνθρώποις τὸ χρυσίον, ὅπερ σοι ἐναπέθεντο.” ἡ
to-the men the gold which with-you they-deposited the
δὲ γυνή· “αὐθέντη, ἐγὼ τὸ χρυσίον αὐτοῖς δέδωκα.” οἱ δὲ
and woman lord I the gold to-them gave(-it) the and
ἄνθρωποι ἀντέλεγον πάντη πρὸς τὸν λόγον τῆς γυναικὸς
men contradicted wholly toward the word of-the woman
ἀληθῆ εἶναι δοκοῦντα· “ἡμεῖς, ὦ κύριε, τρεῖς ὑπάρχοντες,
true to-be seeming we O lord three being

ὅτε τὸν θησαυρὸν ἐνεθέμεθα, τοιαύτην αὐτῇ παραγγελίαν
when the treasure we-deposited such to-her (a)-charge
δεδώκαμεν, ὡς μηδένα ἀφ᾽ ἡμῶν διδόναι ποτέ, εἰ μὴ καὶ
we-gave that no-one of us to-give(-it) ever if not also
τοὺς τρεῖς ἡμᾶς αὐτοψεὶ θεάσηται τὴν παρακαταθήκην
the three us with-her-own-eyes she-sees the deposit
ζητοῦντας.” ὁ δὲ ἄρχων πάλιν τῇ γυναικί φησιν·
seeking the and ruler again to-the woman says
“ἀπόδος τοῖς ἀνθρώποις τὸ χρυσίον, ὦ γύναι, καὶ μηδαμῶς
give-back to-the men the gold O woman and by-no-means
ἔχῃς ἄλλον τινὰ λογισμὸν περὶ τούτου.” τότε ἡ γραῦς
have other any thought about this then the old-woman
μετὰ δακρύων ἀπῆλθεν ἐκ προσώπου τοῦ ἄρχοντος μετὰ
with tears went-away from (the)-face of-the ruler with
κλαυθμοῦ πικρῶς ἀλαλάζουσα. ταύτης οὖν ἀπερχομένης
wailing bitterly crying-aloud her then going-away
καὶ ὀδυρομένης, συναντᾷ ταύτῃ παιδίον χρόνων πέντε
and lamenting meets her (a)-child of-years five
ὑπάρχον. καὶ τὸ παιδίον αὐτὴν ὁρῶν κλαίουσαν μετ᾽
being and the child her seeing weeping with
ὀδύνης πολλῆς, ἠλέησε τῆς πικροτάτης οἰμωγῆς. καὶ
pain much took-pity on-the most-bitter lament and
λέγει πρὸς τὴν γυναῖκα τὸ παιδίον· “τί οὕτως, ὦ γύναι,
says to the woman the child why thus O woman
κλαίεις ἐλεεινῶς;” ἡ δὲ εἶπεν· “ἄφες με, τέκνον, τὴν
do-you-weep pitiably she and said leave me child the
ἀθλίαν, τοῦ κλαίειν με ἀθλίως τὴν ἐμὴν πενίαν καὶ
wretched-one to-the to-weep me wretchedly the my poverty and
συμφοράν.” τὸ δὲ παιδίον ἐπὶ πλέον ἵστατο ἀναγκάζον
misfortune the and child even more stood pressing
αὐτὴν καὶ τὴν αἰτίαν τῆς λύπης αὐτῆς ἠρώτα ἐπιμόνως·
her and the cause of-the grief her asked persistently

καὶ οὐ πρότερον ἀφῆκεν αὐτὴν ὁ παῖς, ἄχρις οὗ τὰ
and not before let-go her the boy until — the(-things)
τοῦ πράγματος ὡς ἐγένοντο κατὰ μέρος ἡ γυνὴ τῷ
of-the matter as they-happened in detail the woman to-the
παιδαρίῳ διεσάφησεν. ὁ δὲ παῖς ἀκούσας κατὰ μέρος,
little-child made-clear the and boy having-heard in detail
τῇ γραίᾳ διηρμήνευσεν εἰπών· "ἐγὼ τῆς κρατούσης
to-the old-woman explained having-said I from-the holding
σε συμφορᾶς ἐλευθερώσω. καὶ ἐὰν θέλῃς ἵνα σοι ποιήσω
you misfortune will-free(-you) and if you-wish that for-you I-do
ὅπερ λέγω, δός μοι ἀργύριον ὅπως ἀγοράσω κάρυα." ἡ
what I-say give me silver that I-may-buy nuts the
δὲ γυνὴ ἔφη· "ἐὰν ταύτης ἐλευθερώσῃς με τῆς συμφορᾶς
and woman said if from-this you-free me the misfortune
καὶ ἀνελπίστου ζημίας, δώσω σοι τὸ ἀργύριον." τότε
and unhoped-for loss I-will-give you the silver then
λέγει ὁ παῖς τῇ γραΐδι· "ὑπόστρεψον εἰς τὸν ἄρχοντα
says the boy to-the old-woman go-back to the ruler
καὶ εἰπὲ αὐτῷ οὕτως· "γνωρίζω σοι, κύριέ μου, ὡς τρεῖς
and say to-him thus I-make-known to-you lord my that three
σύντροφοι ἦσαν οἱ δεδωκότες μοι τὸ ἀργύριον καὶ τὸ
partners were the(-ones) having-given me the silver and the
χρυσίον, παραγγείλαντές μοι μηδενὶ ἀπὸ τούτων τῶν τριῶν
gold having-charged me to-no-one of these the three
συντρόφων δοῦναι τὸ χρυσίον, εἰ μὴ καὶ οἱ τρεῖς παρῶσι·
partners to-give the gold if not also the three are-present
καὶ νῦν τὸ χρυσίον ἐστὶ παρ' ἐμοί, καὶ τὴν ἐνδοξότητά σου
and now the gold is with me and the glory your
ἱκετεύω, ἵνα ὁρίσῃς καὶ παραγίνωνται καὶ οἱ τρεῖς ὁμοῦ·
I-entreat that you-order also they-come also the three together
καὶ οὕτως ἐγὼ αὐτοῖς τὸν συντροφικὸν θησαυρόν, ὃν
and thus I to-them the shared treasure which

ἔθηκαν εἰς ἐμέ, ἀποδώσω.” λοιπὸν ἡ γυνὴ ἐπὶ ταύταις
they-placed with me will-give-back then the woman at these
ταῖς τοῦ παιδὸς παραγγελίαις πολλὰ εὐφρανθεῖσα, εὐθὺς
the of-the boy instructions much rejoicing at-once
εἰς τὸν ἡγεμόνα ὑπέστρεψε καὶ τὰ τοῦ παιδὸς ῥήματα,
to the governor returned and the of-the boy words
ὀλίγα καὶ φρόνιμα ὄντα, εἶπε τῷ ἡγεμόνι. ὃ δὲ ἰδὼν
few and wise being said to-the governor he and seeing
αὐτὴν εὐλόγως λέγουσαν καὶ δικαίως, διαμηνύσας τοὺς
her reasonably speaking and justly having-summoned the
ἐμπόρους λέγει· “δικαίως νῦν ἔγνωκα ὅτι ἡ γραῦς ὑμῖν
merchants says justly now I-have-learned that the old-woman you
ἀνθίσταται καὶ τὸν θησαυρὸν οὐκ ἀποδίδει. λοιπὸν ἔλθετε
resists and the treasure not gives-back then come
καὶ οἱ τρεῖς, καθὼς εἴπατε τὸ κατ’ ἀρχάς, καὶ οὕτως
also the three as you-said — at (the)-beginning and thus
ὁμοῦ καὶ οἱ τρεῖς τὸ χρυσίον λήψεσθε.” τῆς γοῦν τοιαύτης
together also the three the gold you-will-receive the then such
ἀποφάσεως παρὰ τοῦ δικαστοῦ ἐξελθούσης δικαίας ὁμοῦ
sentence from the judge having-gone-forth just together
καὶ ἀναμφιβόλου, καὶ τῆς γυναικὸς μηκέτι παρὰ τῶν
and unambiguous and the woman no-longer by the
δύο συρομένης, ἐνόησεν ὁ δικάζων ὅτι ἡ γυνὴ παρά
two being-dragged perceived the judge that the woman from
τινος φρονίμου τὴν τοιαύτην ἤκουσεν ἀπολογίαν, καὶ πρὸς
some wise(-person) the such had-heard defense and to
ἑαυτὸν καλέσας τὴν γυναῖκα ἠρώτα· “ὦ γύναι, τίς εἶπέ
himself having-called the woman asked O woman who told
σοι τὸν τοιοῦτον ἄριστον καὶ πιθανώτατον λόγον;” ἡ δὲ
you the such best and most-persuasive word she and
ἀπεκρίνατο· “ὦ κύριέ μου, παιδίον πενταετὲς συνήντησέ
answered O lord my (a)-child five-year-old met

με καὶ κλαίουσάν με ἰδὸν καὶ ἀκοῦσαν παρ᾽ ἐμοῦ τὴν
me and weeping me having-seen and having-heard from me the
αἰτίαν, ταύτην εἶπέ μοι τὴν ἀπολογίαν ἀποκριθῆναι εἰς τὸ
cause this told me the defense to-answer at the
βῆμά σου.” ὁ δὲ ἡγεμὼν αὐτίκα πρὸς ἑαυτὸν τὸν παῖδα
tribunal your the and governor forthwith to himself the boy
ἐκάλεσε καὶ αὐτὸν ἐπηρώτα λέγων· “σύ, ὦ παιδάριον,
called and him questioned saying you O little-child
τῇ γραΐδι τὸν λόγον τοῦτον παρήγγειλας;” “ναί,” φησὶν
to-the old-woman the word this instructed yes says
ὁ παῖς, “κύριέ μου.” καὶ ὁ δικαστὴς ἐκπλαγεὶς ἐπὶ τῇ
the boy lord my and the judge astonished at the
τοῦ παιδὸς φρονήσει καὶ ὀξύτητι τοῦ νοὸς εὐθὺς αὐτὸν
of-the boy prudence and sharpness of-the mind at-once him
διδάσκαλον προεβάλετο ῥητόρων καὶ φιλοσόφων.
(as)-teacher appointed of-orators and philosophers

XXI · THE OLD MASTER OF THE MIMES

A merchant brings fragrant woods to a city of tricksters. One buys his load for a dish of whatever he chooses, and others bind him to drink the sea and to replace a stolen eye. His hostess sends him disguised to their old master, where he overhears the answers: a dish of fleas, half male and half female; the rivers that feed the sea stopped first; the eyes weighed on a scale. With these he defeats them. The prince says his teacher made him like these three.

Ἄκουσον δέ, ὦ θειότατε βασιλεῦ, καὶ τῆς περὶ τοῦ
hear and O most-divine king also the about the
γηραιοῦ ἀνδρὸς διηγήσεως. ἄνθρωπός τις ἦν, ὃς εἶχε
old man narration (a)-man a-certain there-was who had
συνήθειαν πραγματεύεσθαι ξύλα μυριστικά· ὃς καὶ ἤκουσε
(a)-custom to-trade woods fragrant who also heard

παρὰ ἀνθρώπων ὅτι τὰ μυριστικὰ ξύλα εἰς τόδε τὸ
from men that the fragrant woods in this-here the
κάστρον ἀκριβῶς εὑρίσκονται. καὶ εὐθὺς ὁ ἔμπορος ἅπερ
town exactly are-found and at-once the merchant what
εἶχεν ἀρωματικὰ ξύλα ἀγορασμένα λαβών, ἀπῆλθεν εἰς
he-had aromatic woods bought having-taken went-away to
τὴν πόλιν ἐκείνην. ὡς δὲ ἐπεσώθη ἐκεῖ, κατεσκήνωσεν ἔξω
the city that when and he-arrived there he-encamped outside
τῆς πόλεως ἐκείνης, ἵνα μάθῃ πῶς ἡ τιμὴ τῶν ξύλων
the city that so-that he-might-learn how the price of-the woods
ἐκείνων ἐν τῇ πόλει ἐστί. διὰ μέσου δὲ τῆς ἡμέρας
those in the city is through (the)-middle and of-the day
ἐκείνης ἰδοῦσα αὐτὸν μία δούλη τινὸς τῶν ἀρχόντων
that having-seen him one slave-girl of-a-certain of-the rulers
τῶν ἐγχωρίων ἠρώτησεν αὐτόν· "σὺ τίς εἶ; καὶ τί
of-the local asked him you who are(-you) and what(-are)
τὰ ἐπιφερόμενα πράγματα;" ὁ δὲ ἔφη· "ἔμπορός εἰμι, καὶ
the brought goods he and said (a)-merchant I-am and
ταῦτα τὰ ξύλα μυριστικά." ἡ δὲ δούλη ἐκείνη τῷ ἰδίῳ
these the woods (are)-fragrant the and slave-girl that to-the own
δεσπότῃ ὅσα λελάληκεν αὐτῇ ὁ ἔμπορος ἐφανέρωσεν.
master as-much-as had-spoken to-her the merchant revealed
ὁ δὲ κύριος τῆς δούλης πολύξευρος ὢν εὐθέως συνῆξεν
the and master of-the slave-girl very-knowing being at-once gathered
ὅσα ἀρωματικὰ εἶχε ξύλα καὶ εἰς τὸ πῦρ ἔβαλε· καὶ
what aromatic he-had woods and into the fire threw and
ἀνάψαντος τοῦ πυρός, πολλὴ εὐθὺς ἐξῆλθεν εὐωδία ἐκεῖθεν.
having-blazed-up the fire much at-once went-out fragrance from-there
ἐκεῖ γοῦν πλησίον ὁ ἔμπορος ὑπάρχων καὶ τῆς ὀσμῆς
there then near the merchant being and with-the smell
ἐκείνης πλησθείς, εἶπε τοῖς ἐκεῖ οὖσιν ἀνθρώποις· "πολλῆς
that filled said to-the there being men with-much

εὐωδίας ξύλων μυριστικῶν ἐμπίπλαμαι καί, παρακαλῶ,
fragrance of-woods fragrant I-am-filled and I-beg
θεάσασθε μήπως τις εἰς τὰ ἐμὰ ξύλα πυρκαϊὰν ἀνῆψε
look lest someone to the my woods (a)-fire has-kindled
καὶ καίονται τὰ ἡμέτερα." οἱ δὲ πρὸς αὐτὸν εἶπον·
and are-burning the our(-things) they and to him said
"οὐδαμῶς ἐν τῷ σῷ φόρτῳ ἀνῆψέ τις πυρκαϊὰν ἢ
by-no-means in the your load kindled anyone (a)-fire or
σπινθῆρα." καὶ πρωΐας γενομένης, εἰσῆλθεν εἰς τὴν πόλιν
(a)-spark and morning having-come entered into the city
ἐκείνην ὁ ἔμπορος, καὶ συναντᾷ αὐτῷ ὁ τῆς δούλης
that the merchant and meets him the of-the slave-girl
ἐκείνης δεσπότης καὶ ἐρωτᾷ αὐτόν· "τί ἄρα εἰσὶ τὰ
that master and asks him what then are the(-things)
ἐν τῷ φόρτῳ φερόμενα;" ὁ δὲ ἔμπορος ἔφη· "ἀρωματικὰ
in the load carried the and merchant said aromatic
ξύλα ἔφερον." ὁ δὲ ἐγχώριος πρὸς τὸν ἔμπορον εἶπε·
woods I-was-bringing the and native to the merchant said
"τίς σε, ὦ ἄνθρωπε, κατηνάγκασε τὰ τοιαῦτα ξύλα πρὸς
who you O man compelled the such woods to
ταύτην τὴν πόλιν κομίσαι, παραιτησάμενος ἄλλα εἴδη ἀφ'
this the city to-bring having-declined other kinds from
ὧν ἔμελλες κερδᾶναι; γίνωσκε γὰρ ὅτι ταῦτα τὰ ξύλα
which you-would profit know for that these the woods
ἐνθάδε χρείαν οὐκ ἔχουσιν· οἱ γὰρ κατοικοῦντες ἄνθρωποι
here need not have the for dwelling men
ὧδε ὡς καύσιμα ἔχουσι καὶ τούτοις χρῶνται εἰς κλίβανον
here as firewood have(-them) and these use for (the)-oven
καὶ φοῦρνον." καὶ ὁ ἔμπορος· "καὶ πῶς ἔστι τοῦτο,
and furnace and the merchant and how is this
ὅτι ἐγὼ ἤκουσα ὅτι πλέον ἡ πόλις αὕτη χρήζει τῶν
that I heard that more the city this needs the

τοιούτων ξύλων ἢ ἄλλαι πόλεις;" ὅτε καὶ πρὸς τὸν
such woods than other cities when also to the
ἔμπορον ἀπεκρίνατο· "οἱ ταῦτα εἰπόντες σε, μεγάλως σε
merchant answered those these(-things) having-said you greatly you
ἠπάτησαν." τούτοις τοῖς λόγοις ὁ ἔμπορος τὴν καρδίαν
deceived by-these the words the merchant the heart
πληγείς, ἔμεινε λυπούμενος. ὁ δὲ ἀνὴρ ἐκεῖνος ἰδὼν τὸν
struck remained grieving the but man that seeing the
ἔμπορον σφόδρα λελυπημένον, λέγει πρὸς αὐτόν· "βλέπω
merchant very grieved says to him I-see
σε, φίλε, σφόδρα γεγονότα περίλυπον, καὶ ἐλεῶ σε πολλὰ
you friend very become sorrowful and I-pity you much
διὰ τὴν λύπην σου ταύτην. διὰ τοῦτο τοίνυν, ἂν χρῄζῃς,
for the grief your this because-of this therefore if you-wish
ἐλθὲ καὶ πώλησόν με τὴν πραγματείαν σου ὅλην, καὶ
come and sell me the merchandise your whole and
εἴ τι θέλεις, δώσω σοι εἰς πινάκιν γεμάτον." ὁ δὲ
if anything you-want I-will-give to-you in (a)-dish full the and
ἔμπορος ἀνελογίζετο καθ' ἑαυτὸν λέγων· "στοχάζομαι ὅτι
merchant reckoned by himself saying I-guess that
κάλλιόν ἐστι τοῦ δοῦναι τὴν πραγματείαν μου ὅλην τῷ
better it-is the to-give the merchandise my whole to-the
ἀνδρὶ τούτῳ ἢ ἀπομεῖναι τὰ πράγματα ἀπούλητα· καὶ
man this than to-remain the goods unsold and
ὅσα βούλεται δοῦναί μοι λήψομαι· τοῦτο γὰρ κρεῖττόν
whatever he-wishes to-give me I-will-take this for better
ἐστιν ἢ ἀπομεῖναι τὰ πράγματα ἀπώλητα." καὶ τοῦτο ἐν
is than to-remain the goods unsold and this in
τῷ νοΐ βουλευσάμενος, ἐπώλησε τὴν πραγματείαν πᾶσαν
the mind having-resolved sold the merchandise all
αὐτοῦ ὁ ἔμπορος πρὸς τὸν ἐγχώριον, συμβιβασθεὶς λαβεῖν,
his the merchant to the native having-agreed to-take

εἴ τι ἄρα καὶ ζητήσει, ἕνα πίνακα γεμισμένον. λαβὼν
if anything then also he-asks one dish filled having-taken
οὖν ὁ ἀγοράσας τὴν πραγματείαν τοῦ ἐμπόρου ἤγαγεν
then the(-one) having-bought the merchandise of-the merchant led(-it)
εἰς τὴν οἰκίαν αὐτοῦ, μηδενὸς τὸ καθ' ὅλου γινώσκοντος
into the house his no-one — at all knowing
περὶ τούτου. ὁ μὲν οὖν ἔμπορος ἐκεῖνος περιπατῶν ἐν
about this the indeed then merchant that walking-about in
τῇ πόλει, εἰσῆλθεν εἰς οἰκίαν γραΐδος τινὸς μετὰ τῶν
the city entered into (the)-house of-old-woman a-certain with the
συντρόφων αὐτοῦ τοῦ κατακλιθῆναι ἐκεῖ, καὶ ἐπηρώτα
companions his for-the to-lodge there and asked
τὴν γραῦν ὁ ἔμπορος λέγων· "πῶς ἄρα, ὦ γύναι, τὰ
the old-woman the merchant saying how then O woman the
ἀρωματικὰ ξύλα ὧδε πωλῶνται;" ἡ δὲ ἔφη· "ἰσόσταθμα
aromatic woods here are-sold she and said equal-in-weight
τῷ χρυσῷ ταῦτα πωλῶνται. πλὴν λέγω σοι, ἔμπορε,
to-the gold these are-sold but I-tell you merchant
πρόσεχε καλῶς ἀπὸ τῶν πολιτῶν τῆσδε τῆς πόλεως·
take-heed well of the citizens of-this the city
πανοῦργοι γὰρ καὶ δόλιοί εἰσιν ἅπαντες καὶ ποικίλοι ταῖς
villains for and deceitful are all and cunning in-the
πράξεσι, καὶ οὐκ ἔστι δυνατὸν τὸν ἐνταῦθα ἐλθόντα ξένον
deeds and not it-is possible the here having-come stranger
μὴ παρὰ τούτων φθοράν, εἰ δυνατόν, καὶ τῆς ἑαυτοῦ
not from these ruin if possible even of-the his-own
ζωῆς ὑπομεῖναι." ταῦτα εἰπούσης τῆς γραΐδος ἐκείνης,
life to-suffer these(-things) having-said the old-woman that
ἐξῆλθε τῆς οἰκίας αὐτῆς ὁ ἔμπορος θεάσασθαι τὰ
went-out from-the house her the merchant to-look-at the(-things)
ἐν τῇ πόλει, καὶ ὁρᾷ τρεῖς ἄνδρας ὁμοῦ ἐπὶ τὸ ἔργον
in the city and sees three men together at the work

καθεζομένους καὶ ἱστάμενος συχνῶς ἐνατενίζων ἔβλεπε
sitting and standing often gazing-intently he-watched
τούτους. ἐκεῖνοι δὲ πάλιν ἑωρακότες τὸν ἔμπορον, εἷς ἀπὸ
them they and in-turn having-seen the merchant one of
τούτων τῶν τριῶν λέγει πρὸς αὐτόν· "ἐλθέ, ὦ πάτερ, καὶ
these the three says to him come O father and
διαλεχθῶμεν ἐγὼ καὶ σὺ πρὸς ἀλλήλους· καὶ ὅστις ἀφ'
let-us-converse I and you with one-another and whoever of
ἡμῶν νικήσει ἐπὶ τῇ τῶν λόγων στροφῇ καὶ πιθανότητι,
us wins in the of-the words turning and persuasiveness
ἐπιταξάτω τῷ νενικημένῳ ποιῆσαι ὅ τι καὶ βούλεται
let-him-command the defeated(-one) to-do what- -ever also wishes
ὁ νενικηκώς." ὁ δὲ ἔμπορος ἀπεριέργῳ τῇ γνώμῃ καὶ
the victor the and merchant with-artless the mind and
ἁπλοϊκῇ τῇ ψυχῇ· "ναί," φησί, "στέργω, καὶ γενέσθω ὡς
simple the soul yes he-says I-agree and let-it-be as
ἐκέλευσας." εἶτα ἐκάθισαν πρὸς ἀλλήλους διαλεγόμενοι.
you-ordered then they-sat with one-another conversing
καὶ νενίκηκε τὸν ἔμπορον ὁ μῖμος ἐκεῖνος καὶ πανοῦργος
and defeated the merchant the mime that and villainous
ἀνὴρ καί φησι πρὸς αὐτόν· "ἰδού, ὡς ὁρᾷς, ἐνίκησά
man and he-says to him look as you-see I-defeated
σε τοῖς λόγοις μου, καὶ κατὰ τὴν συμφωνίαν ἡμῶν
you with-the words my and according-to the agreement our
ἐπιτρέπω σε πιεῖν πάντα τὰ τῆς θαλάττης ὕδατα." ἐπὶ
I-command you to-drink all the of-the sea waters at
τούτοις οὖν ὁ ἔμπορος ἐν ἀπορίᾳ γέγονε, μὴ δυνάμενός
these(-things) then the merchant in perplexity came-to-be not being-able
τινα μηχανὴν εὑρηκέναι εὐλογοφανῆ καὶ προβαλέσθαι τῷ
any device to-have-found plausible and to-put-forward to-the
μίμῳ εἰς ἀντίθεσιν, καὶ τοὺς αὐτοῦ βρόχους διαφυγεῖν.
mime in reply and the his snares to-escape

ἦν δὲ ὁ ἔμπορος τὴν ὅρασιν γλαυκόφθαλμος, ἔτυχε
was and the merchant (in)-the sight gray-eyed it-happened
δὲ εἶναι καὶ τὸν ἕνα ἀπὸ τῶν τριῶν μίμων ἐκείνων
and to-be also the one of the three mimes those
μονόφθαλμον, γλαυκὸν δὲ τὸν ἕνα αὐτοῦ κεκτημένον
one-eyed gray and the one his possessing
ὀφθαλμόν. κἀκεῖνος δὲ ἀναστὰς ἐπελάβετο ἰσχυρῶς τοῦ
eye and-he and having-stood-up took-hold strongly of-the
ἐμπόρου λέγων· "σὺ τὸν ἕνα μου ἔκλεψας ὀφθαλμόν· διὸ
merchant saying you the one my stole eye therefore
ἀπέλθωμεν πρὸς τὸν κριτὴν τῆς πόλεως, ὅπως αὐτὸς
let-us-go-away to the judge of-the city so-that he
ὁρίσῃ καὶ ἀποδώσῃς μοι τὸν ὀφθαλμὸν ὃν ἔκλεψας."
may-order and you-give-back to-me the eye which you-stole
ἤκουσεν ἡ γραῦς ἡ ὑποδεξαμένη τὸν ἔμπορον, ὅτι
heard the old-woman the(-one) having-received the merchant that
πρὸς τὸν τῆς χώρας ἄρχοντα ἕσυρεν ὁ μῖμος τὸν
to the of-the country ruler was-dragging the mime the
ἔμπορον. καὶ συναντήσασα τούτοις, εἶπε πρὸς τὸν μῖμον
merchant and having-met them she-said to the mime
ἡ γραῦς· "ἄφες, ἀξιῶ, σήμερον ἐγγυητικῶς τὸν ἔμπορον,
the old-woman release(-him) I-ask today on-surety the merchant
καὶ ἐγὼ αὐτὸν αὔριον πρωΐ, ἐὰν ζητήσῃς, παραστήσω
and I him tomorrow early if you-seek(-him) will-present
σοι." ὁ δὲ μῖμος ὑπακούσας τῇ αἰτήσει, κατέλιπε τὸν
to-you the and mime having-heeded the request left the
ἔμπορον. κἀκείνη μετ' αὐτοῦ πρὸς τὸν ἴδιον οἶκον ἦλθε
merchant and-she with him to the own house went
καὶ λέγει πρὸς αὐτόν· "ἐγὼ πάντως πρότερον παρήγγειλά
and says to him I surely before charged
σοι προσέχειν ἀπὸ τῶν ἀνθρώπων τῆς πόλεως, ὅτι
you to-take-heed of the men of-the city that

ἐπὶ πᾶσι τοῖς ξένοις κακοὶ λίαν φαίνονται καὶ ἄγαν
toward all the strangers wicked very they-appear and exceedingly
πονηροί, καὶ μηδαμῶς φανερῶς ἐξέλθῃς ποτέ· σὺ δὲ
evil and by-no-means openly go-out ever you but
ἐπεὶ οὐκ ἤκουσάς μου τῆς συμβουλῆς, εὗρες καὶ τῆς
since not you-heard my the counsel you-found also of-the
παρακοῆς τὰς ἀντιμισθίας. καὶ νῦν ἄκουσόν μου ἀρτίως
disobedience the wages and now hear me presently
περὶ ὧν συμβουλεῦσαί σοι θέλω, ἐπεὶ τὰ πρῶτα ἐσφάλης.
about what to-advise you I-wish since the first(-time) you-erred
γνωρίζω γάρ σοι ὡς οἱ τοιοῦτοι μῖμοι ἔχουσί τινα
I-make-known for to-you that the such mimes have a-certain
καθηγητὴν καὶ διδάσκαλον, ὅστις τῇ πονηρίᾳ τῶν ἄλλων
master and teacher who in-the wickedness the others
πάντων ὑπερέχει καὶ νικᾷ ἅπαντας. πρὸς αὐτὸν γοῦν
all surpasses and defeats all to him then
ὡς διδάσκαλον πάντες οἱ μῖμοι καθ' ἑκάστην ἑσπέραν
as teacher all the mimes on each evening
πορεύονται, καὶ ἀπαγγέλλουσιν ἅπερ ἕκαστος δι' ὅλης
go and report what each through whole
τῆς ἡμέρας εἶπε καὶ ἔπραξε. νῦν οὖν ἐάσας πάντα,
the day said and did now then having-let-be all
ἐπάκουσόν μου τῆς ὠφελίμου ταύτης συμβουλῆς· ἐγερθεὶς
listen-to me the useful this counsel having-risen
ἄλλαξόν σου τὸ σχῆμα, καὶ τὸν ἑαυτόν σου ποίησον ὡς
change your the dress and the self your make as
ἕνα τῶν μίμων, φορέσας καὶ ἱμάτια ὅμοια· εἶτα κρυφίως
one of-the mimes having-worn also garments like then secretly
ἀπελθών, σμίξον σαυτὸν τῇ ἐκείνων συντροφίᾳ· πλὴν
having-gone-off mix yourself with-the their company but
πρόσεχε ἵνα μὴ γνωσθῇς ὑπ' αὐτῶν. συμπορεύθητι γοῦν
take-heed that not you-be-known by them go-along then

πρὸς τὸν διδάσκαλον αὐτῶν καὶ στῆθι ἐκεῖ πλησίον που,
to the teacher their and stand there near somewhere
ὡς εἷς τῶν τυχόντων καὶ κοινῶν τῆς πόλεως, καὶ ἄκουσον
as one of-the ordinary and common of-the city and hear
ὅσα ἀπαγγελοῦσιν αὐτῷ οἱ μετὰ σοῦ ὁμιλήσαντες καὶ
what they-will-report to-him the(-ones) with you having-conversed and
ὅσα ἐκεῖνος πάλιν αὐτοῖς ἀποκριθήσεται, καὶ πᾶν ὅ τι
what he in-turn to-them will-answer and all what- -ever
αὐτοῖς παρὰ τοῦ διδασκάλου λαληθήσεται ἐν τῇ διανοίᾳ
to-them from the teacher will-be-spoken in the mind
σου σημείωσον, ἵνα ἔχῃς ὅσα ἐκεῖνος ἀποκριθῇ πρὸς
your note(-it) that you-may-have what he answers to
αὐτοὺς εἰς ἀντίθεσιν τῶν ἐχθρῶν τῶν πολεμούντων
them for reply to-the enemies the(-ones) warring-against
σε, καὶ μετὰ δυνάμεως πολλῆς νικήσῃς τὴν πονηρίαν
you and with power much you-may-defeat the wickedness
αὐτῶν· καὶ δὴ ἀπὸ τούτου τοῦ τρόπου μέγα σοι
their and indeed from this the way great to-you
προσγενήσεται κέρδος.” ὁ δὲ ἔμπορος ἐποίησεν ὡς παρὰ
will-accrue (a)-gain the and merchant did as from
τῆς γραὸς ἐδιδάχθηκεν. ὅθεν καὶ μετήλλαξε τὸ ἑαυτοῦ
the old-woman he-had-been-taught whence also he-changed the his-own
σχῆμα καὶ ἀπελθὼν ἔστη ἔγγιστα τοῦ γηραιοῦ ἐκείνου.
dress and having-gone-off stood nearest to-the old-man that
καὶ πρῶτα μὲν ἑωράκει ἐλθόντα πρὸς αὐτὸν ἐκεῖνον τὸν
and first indeed he-saw coming to him that(-one) the(-one)
ἀγοράσαντα τὰ ξύλα τῶν ἀρωμάτων, ὅστις ἀπήγγειλε
having-bought the woods of-the spices who reported
τῷ καθηγητῇ λέγων· “ἐγὼ συνήντησά τινι ἐμπόρῳ,
to-the master saying I met a-certain merchant
ξύλα πωλοῦντι τῶν ἀρωμάτων, καὶ τὸν φόρτον αὐτοῦ
woods selling of-the spices and the load his

ἅπαντα ἠγόρασα, συμφωνήσας δοῦναι αὐτῷ διὰ τὴν τιμὴν
all I-bought having-agreed to-give him for the price
τῶν ξύλων πίνακα γεμάτον ἐκ τῶν εἰδῶν τῶν παρ᾽
of-the woods (a)-dish full of the kinds the(-ones) among
ἡμῖν, ὧν ἂν ἐπιζητήσῃ.” ὁ δὲ διδάσκαλος ἠρώτησε·
us whichever — he-may-seek the and teacher asked
“τίνα γέ εἰσι τὰ παρὰ σοῦ συμφωνηθέντα; ἆρά
what then are the(-things) by you agreed whether
γε χρυσὸς ἢ ἄργυρος;” ὁ δὲ μῖμος “οὐχί,” φησί “κύριέ
then gold or silver the and mime no he-says lord
μου, ἀλλὰ εἴδη ἀνώνυμα, ἅπερ ἐκεῖνος ἐθελήσει ζητῆσαι,
my but kinds unnamed which he will-wish to-seek
πίνακα πεπληρωμένον.” ἔφη πρὸς αὐτὸν ὁ διδάσκαλος·
(a)-dish filled said to him the teacher
“μεγάλως ἔσφαλες τὸν ἑαυτόν σου· ἔστω γὰρ τυχόν·
greatly you-have-tripped the self your let-it-be for perhaps
ἐὰν δόξῃ τῷ ἐμπόρῳ ζητῆσαι ἀπὸ σοῦ ψύλλας
if it-seem(-good) to-the merchant to-seek from you fleas
ὅσας ἂν ὁ πίναξ χωρῇ, εἶτα τὸ μὲν ἥμισυ πλῆθος
as-many-as — the dish holds then the indeed half (the)-number
τῶν ψύλλων ἔστω θῆλυ, τὸ δὲ ἕτερον ἥμισυ ἄρσεν, καὶ
of-the fleas let-be female the and other half male and
μὴ μόνον ξανθοὺς εἶναι τοὺς ψύλλους καὶ ὑπομαύρους,
not only yellow to-be the fleas and blackish
ἀλλὰ καὶ γλαυκοειδεῖς, ἆρα δύνασαι τοιαύτην δόσιν
but also grayish is-it can-you such (a)-payment
δοῦναι αὐτῷ; πῶς γενήσεταί σοι ἐλευθερωθῆναι τῆς
give him how will-it-be-possible for-you to-be-freed from-the
ὀχλήσεως αὐτοῦ;” καὶ ὁ μῖμος· “οὐ τοσοῦτον, ὦ κύριέ
trouble his and the mime not so-much O lord
μου, ὁ ἔμπορος σεσόφισται οὐδὲ τοιαῦτα πονηρεύεσθαι ὁ
my the merchant is-clever nor such to-play-the-villain the

αὐτοῦ νοῦς ἱκανός ἐστιν· ἀλλ᾽ ὡς ὑπολαμβάνω, χρυσὸν
his mind able is but as I-suppose gold
ἢ ἄργυρον ὁ τοιοῦτος ζητήσει παρ᾽ ἐμοῦ, καὶ οὐκ ἄλλο
or silver the such(-man) will-seek from me and not other
τι.” προσελθὼν οὖν καὶ ὁ ἐν τῇ διαλέξει νενικηκὼς
anything having-come-forward then also the in the debate having-defeated
μῖμος τὸν ἔμπορον, ἀπήγγειλε τῷ καθηγητῇ ὡς “ἐγὼ
mime the merchant reported to-the master that I
τῷ ἐμπόρῳ τούτῳ συναγωνισάμενος εἰς πόλεμον λόγων,
with-the merchant this having-contended in (a)-war of-words
ὅτι οἷος τὸν ἕτερον νικήσει, ἐπιταξάτω τῷ νενικημένῳ
that whichever the other defeats let-him-command the defeated
ὅτι ἂν βούληται, καὶ τοῦτον δεῖ ἐκπληρώνειν ἅπαντα
whatever — he-wishes and this(-one) must fulfill all
τὰ ἐπιταχθέντα παρὰ τοῦ νενικηκότος αὐτῷ· λοιπὸν
the(-things) commanded by the victor to-him then
ἐγὼ νικήσας ἐν πάσῃ τῇ διαλέξει, εὐθὺς ἐπέτρεψα αὐτῷ
I having-won in all the debate at-once commanded him
ἐκπιεῖν τὰ τῆς θαλάττης ὕδατα.” ὅτε καὶ ὁ καθηγητὴς
to-drink-up the of-the sea waters when also the master
πρὸς ἐκεῖνον ἀπεκρίνατο· “οὐδὲ σὺ καλῶς ἐποίησας· ἔστω
to that(-one) answered not-even you well did let-it-be
γὰρ ἴσως ἐκεῖνον εἰπεῖν πρὸς σέ· ἀπελθὼν πρότερον
for perhaps that(-one) to-say to you having-gone-off first
κράτησον τοὺς ἐν τῇ θαλάσσῃ ῥέοντας ποταμοὺς καὶ τὰς
hold-back the in the sea flowing rivers and the
πηγάς, εἶτα ἐγὼ τὰ τῆς θαλάττης ἐκροφήσω ὕδατα, ἅπερ
springs then I the of-the sea will-gulp-down waters which
καὶ μόνα ὑπεσχέθην σοι πεπωκέναι. εἰ οὖν ταῦτα ὁ
also alone I-promised to-you to-have-drunk if then these(-things) the
ἔμπορος ἀντιλέξει σοι, δύναμις ἔστι σοι τοῦ εὐκόλως
merchant counters to-you power is to-you for-the easily

ἐμποδίσαι τοὺς ἐν τῇ θαλάσσῃ εἰσρέοντας ποταμοὺς καὶ
to-hinder the in the sea flowing-in rivers and
πηγάς;" ὁ δὲ μῖμος ἔφη· "γίνωσκε, κύριέ μου, ὡς
springs the and mime said know lord my that
οὐκ ἔστι δυνατὴ ἡ τοῦ ἐμπόρου φρόνησις τὴν τοιαύτην
not is able the of-the merchant prudence the such
ἀπολογίαν δοῦναι." εἶτα προσελθὼν καὶ ὁ μονόφθαλμος
defense to-give then having-come-forward also the one-eyed
μῖμός φησι τῷ καθηγητῇ· "σήμερον, κύριέ μου, ἑώρακα
mime says to-the master today lord my I-saw
ἐν τῇ ἀγορᾷ ἄνδρα τινὰ ἔμπορον ξένον γλαυκοειδεῖς
in the marketplace (a)-man a-certain merchant foreign gray
ἔχοντα ὀφθαλμούς, καὶ τοῦτον ἐκράτησα ἰσχυρῶς λέγων·
having eyes and him I-seized strongly saying
"σύ τε κἀγὼ γλαυκοὶ ὑπάρχομεν, καὶ σύ μου τὸν
you both and-I gray are and you my the
ἕνα ἔκλεψας ὀφθαλμόν· λοιπὸν οὖν οὐδαμῶς ἀφήσω
one stole eye then therefore by-no-means I-will-let-go
σε, εἰ μὴ τὸν ἕνα σου ἐκβάλω ὀφθαλμὸν ἢ σὺ τὸν
you if not the one your I-knock-out eye or you the
ἐμὸν ὀφθαλμὸν ἰατρεύσῃς, κἂν πάντα σου τὸν πλοῦτον
my eye heal even-if all your the wealth
ἐξοδιάσῃς." τότε εἶπεν αὐτῷ ὁ καθηγητής· "οὐδέ σύ
you-spend then said to-him the master not-even you
τι κατώρθωσας· ἐὰν γὰρ φανῇ τῷ ἐμπόρῳ εἰπεῖν
anything succeeded if for it-seem(-good) to-the merchant to-say
σοι ὅτι "τοῦτο πρῶτον σημεῖόν ἐστι τῆς προτάσεώς
to-you that this first (the)-sign is of-the proposal
σου, ἵνα καὶ τὸν ὀφθαλμὸν ὃν ἔχεις ἐκβάλῃς κἀγὼ
your that also the eye which you-have you-knock-out and-I
τὸν ἕνα μου ὀφθαλμόν, καὶ ἐν ζυγίῳ σταθμίσωμεν, καὶ
the one my eye and in (a)-balance we-weigh(-them) and

οὕτως ἡ ἀλήθεια εὑρεθήσεται· εἰ μὲν οὖν ἴσος εὑρεθῇ
thus the truth will-be-found if indeed then equal be-found
ὁ ἐμὸς ὀφθαλμὸς τῷ σῷ, ἔχε αὐτόν, εἰ δὲ κατά τι
the my eye to-the yours have it if but in anything
ἄνισος, ἢ βαρύτερος ἢ ἐλαφρότερος, τότε ὡς ψευδῆ μου
unequal either heavier or lighter then as falsely me
κατηγορήσας καὶ τὸν ἐμὸν ὀφθαλμὸν ἐκβαλὼν εὐθύνας
having-accused and the my eye having-knocked-out penalties
καὶ τιμωρίας καὶ ζημίαν μεγίστην ὀφλήσεις.” τί ποιήσεις
and punishments and loss very-great you-will-owe what will-you-do
τότε, ἐὰν οὕτως ὁ ἔμπορος ἀπολογηθήσεται; καὶ τὸ δὴ
then if thus the merchant pleads and the indeed
χεῖρον, ὅτι εἰ τοῦτο ἐπὶ σοὶ γένηται, σὺ μὲν τελείως ἔσῃ
worse that if this to you happen you indeed wholly will-be
τυφλὸς καὶ πάντη ἀόμματος, ἐκεῖνος δὲ τὸν ἕνα ὀφθαλμὸν
blind and altogether eyeless he but the one eye
ἔχων, πάλιν τὸ φῶς βλέπων ἔσται.” πρὸς ταῦτα ὁ
having again the light seeing will-be to these(-things) the
μονόφθαλμος μῖμος ἀπεκρίθη τῷ καθηγητῇ· “ἀλλ’ οὐκ
one-eyed mime answered to-the master but not
ἐπὶ τοσοῦτόν ἐστιν ὁ ἔμπορος πονηρός, ὥστε τοιαῦτα
to so-great(-a-degree) is the merchant wicked as-to such
λόγια ἀντιπαραθεῖναι.” ταῦτα οὕτω παρὰ τοῦ καθηγητοῦ
words to-set-against these(-things) thus by the master
καὶ τῶν μίμων λαληθέντων, ὁ ἔμπορος ἠκροᾶτο παρ’
and the mimes having-been-spoken the merchant listened-to through
ὅλην τὴν νύκτα, φυλάττων αὐτὰ ἐν τῇ καρδίᾳ αὐτοῦ.
whole the night keeping them in the heart his
πρωίας δὲ γενομένης παραγίνεται ὁ ἔμπορος πρὸς
morning and having-come comes the merchant to
τὸν ἀγοράσαντα τὰ ξύλα τῶν ἀρωμάτων καί φησι
the(-one) having-bought the woods of-the spices and says

πρὸς αὐτόν· "ἀπόδος μοι, φίλε, εἴ τι συνεβιβάσθημεν
to him give-back to-me friend if anything we-agreed
περὶ τοῦ φόρτου, οὗ σε ἐπώλησα." ὁ δὲ μῖμος ἔφη·
about the load which you I-sold the and mime said
"ζήτησον, εἴ τι βούλει, κἀγὼ ἑτοίμως ἀποδώσω σοι."
ask if anything you-wish and-I readily will-give-back to-you
ὁ δὲ ἔμπορος ἀποκριθεὶς λέγει· "θέλω ἵνα μοι δώσῃς
the and merchant answering says I-want that to-me you-give
ἐν τῷδε τῷ πίνακι ψύλλας ὅσας χωρεῖ, ἀπ' αὐτῶν
in this the dish fleas as-many-as it-holds of them
δὲ τῶν ψύλλων τὸ ἥμισυ ἄρσεν, τὸ δὲ λοιπὸν ἥμισυ
and the fleas the half male the and rest half
θῆλυ, καὶ μὴ μόνον καὶ ὑπομαύρους εἶναι τὰς ψύλλας,
female and not only also blackish to-be the fleas
ἀλλὰ καὶ γλαυκοειδεῖς." οὕτως εἰπὼν ὁ ἔμπορος τῷ
but also grayish thus having-said the merchant to-the
μίμῳ ἰσχυρῶς ὑπῆρχεν ἀναγκάζων αὐτὸν καὶ βιαζόμενος
mime strongly was compelling him and forcing(-him)
κατὰ πολύ, ἕως οὗ ὁ μῖμος ἔδωκε τῷ ἐμπόρῳ πλείονα
by much until — the mime gave to-the merchant more
τιμὴν τῆς δικαίας τιμῆς τῶν ἀρωματικῶν ξύλων· καὶ
(a)-price than-the just price of-the aromatic woods and
τότε μόλις ἀφῆκεν αὐτὸν τῆς ὀχλήσεως. εὑρὼν δὲ
then scarcely he-let-go him from-the trouble having-found and
καὶ τοὺς ἄλλους δύο μίμους, τῷ τὸν ὀφθαλμὸν αὐτοῦ
also the other two mimes the(-one) the eye his
ζητοῦντι καὶ τῷ τὴν θάλασσαν ἐκπιεῖν ἐπιτρέψαντι
seeking and the(-one) the sea to-drink-up having-commanded
αὐτῷ, ἔπνιγε γοῦν αὐτοὺς ἀναγκάζων ποιῆσαι ὅσα
him he-throttled then them compelling(-them) to-do what
κρυφίως τοῦ διδασκάλου αὐτῶν λέγοντος αὐτοῖς ἠκηκόει,
secretly the teacher their saying to-them he-had-heard

καὶ τοσοῦτον αὐτοὺς ἕσυρε βιαίως, ἕως οὗ ἔλαβεν ἀπὸ
and so-much them he-dragged by-force until — he-took from
τούτων ὡς νικήσας ὅσα ἠθέλησεν ὁ ἔμπορος· καὶ τότε
them as having-won what he-wished the merchant and then
ἀφῆκεν αὐτούς. Καὶ νῦν, ὦ δέσποτα βασιλεῦ, ἐξ ὧν
let-go them and now O master king from what
σοι διηγησάμην γίνωσκε ὡς ἐκεῖνοι οἱ δύο παῖδες, ὁ
to-you I-related know that those the two children the
τριετής, φημί, καὶ ὁ πενταετής, περὶ ὧν πρώην εἶπον
three-year-old I-mean and the five-year-old about whom earlier I-spoke
τῷ κράτει σου, καὶ οὗτος ὁ γηραιὸς καθηγητὴς πολλῇ
to-the majesty your and this the old master with-much
τῇ γνώσει καὶ τῇ συνέσει κεκόσμηντο. καὶ ἐμέ, ὡς
the knowledge and the understanding were-adorned and me as
νομίζω, κατ᾽ ἐκείνους ὁ ἐμὸς διδάσκαλος ἀπετέλεσεν.”
I-think like them the my teacher made

XXII · THE STEPMOTHER’S SENTENCE

The prince explains that a child’s senses do not work together and that Syntipas taught him by small steps. The king summons the woman, who confesses she feared the boy would expose her. The grandees propose cutting off her hands and feet, tearing out her heart, or cutting out her tongue. She tells of a fox that let its tail, ears, and teeth go but fled when a man came for its heart. The prince proposes she be shaved, blackened, and paraded on an ass; the king agrees.

Ὁ δὲ βασιλεὺς ἔφη πρὸς τὸν υἱόν· “γνώρισόν μοι λοιπόν,
the and king said to the son make-known to-me then
ὦ υἱέ, πῶς ἐν τοῖς προλαβοῦσι τρισὶν ἔτεσιν οὐ μεμάθηκας
O son how in the preceding three years not you-learned
τὴν νῦν προσγενομένην σοι λογιότητα, νῦν δὲ ἐν μόνοις
the now having-come-to you learning now but in only

τοῖς ἓξ μησὶν ἐπὶ τοσοῦτον σοφίας ἤρθης;" καὶ ὁ
the six months to so-much of-wisdom you-were-raised and the
παῖς ἀπεκρίνατο· "τότε, ὦ βασιλεῦ, νηπίου ὄντος μου,
boy answered then O king (an)-infant being I
οὐ συνήργουν ἀλλήλαις αἱ ὑπάρχουσαί μου τῆς ψυχῆς
not cooperated with-one-another the being my of-the soul
καὶ τοῦ σώματος αἰσθήσεις. ἐν ἡλικίᾳ γὰρ παιδὸς ὄντος
and of-the body senses in (the)-age for of-a-child being
μου τότε οὔτε οἱ ὀφθαλμοὶ ἢ ἡ γλῶττα, οὔτε ὁ νοῦς
I then neither the eyes or the tongue nor the mind
ἢ ἡ καρδία ἀλλήλοις ἠδύναντο βοηθῆσαι πρὸς τὴν τῶν
or the heart one-another could help toward the of-the
μαθημάτων διδασκαλίαν· οὐδὲ δυνατόν ἐστιν ἔτι νηπιόφρονα
lessons teaching nor possible it-is still infant-minded
ὄντα εὐκόλως γνῶσιν ἐκδιδάσκεσθαι, καθότι ἅπαν παιδίον,
being easily knowledge to-be-taught since every child
τοῖς παιγνίοις καὶ τῇ ἀργίᾳ εὐφραινόμενον, οὐ προσέχει
in-the games and the idleness delighting not applies
τὸν νοῦν ἐν τοῖς μαθήμασι. κἀγώ, ὦ βασιλεῦ, τὸν ὅμοιον
the mind to the lessons and-I O king the like
τρόπον τότε τῇ ἡλικίᾳ καὶ τῇ γνώσει τυγχάνων, οὐδὲν
way then in-the age and the knowledge being nothing
ὅλως τῶν διδασκομένων ἠδυνάμην καρπώσασθαι, ἅτε
at-all of-the(-things) taught could reap since
μοι τούτοις τοῖς παιγνίοις τὸν νοῦν μου στερεοῦσιν· ἀλλ',
for-me by-these the games the mind my holding-fast but
ὡς νηπιώδης, τὸν νοῦν εἶχον διακεχωρισμένον. νῦν δὲ ὁ
as childish the mind I-had scattered now but the
διδάσκαλός μου Συντίπας θεωρῶν τὸ νέον τῆς ἡλικίας
teacher my Syntipas seeing the youth of-the age
μου, οὐ βαρέως καὶ ἀναγκαστῶς με ἐδίδασκεν οὐδὲ τοῖς
my not heavily and forcibly me taught nor with-the

βαρυτέροις ἐξ ἀρχῆς ἤρξατο πρός με μαθήμασιν,
heavier from (the)-beginning began toward me lessons
ἵνα μὴ νέος ὢν ἐγὼ ἀγανακτήσω καὶ βαρυνθῶ διὰ
so-that not young being I be-vexed and be-weighed-down because-of
τὸ μὴ κατανοεῖν με τὰ λεγόμενα καὶ ἅπαντα τὰ
the not to-understand me the(-things) said and all the(-things)
διδασκόμενα πόρρω τῆς ἐμῆς ἀπορρίψω διανοίας, καὶ
taught far from-the my cast-away mind and
ὅτι ἐγίνωσκεν ὁ διδάσκαλός μου ὡς ἐὰν ἐξ ἀρχῆς
because knew the teacher my that if from (the)-beginning
εἰς μεγάλα καὶ μακρὰ μαθήματα βάλῃ με, εὐκόλως εἶχον
into great and long lessons he-put me easily I-could
ἀλαζονεύσασθαι καὶ ἐκφυγεῖν ἀπ᾽ αὐτοῦ, ἅτε βασιλέως
to-swagger and to-escape from him since of-(a)-king
ὑπάρχων υἱός· ἀλλὰ κατὰ μικρὸν προοδοποιῶν ἐν τοῖς
being son but by little leading-the-way in the
λόγοις, οὕτω με πρὸς τὸ τέλειον τῆς ἐπιστήμης τῶν
words thus me to the perfection of-the knowledge of-the
λόγων ἀνέφερε. καὶ ἐγὼ πάλιν τελεωτέρας μέτοχος
words he-brought-up and I in-turn of-more-perfect partaker
γεγονὼς τῆς φρονήσεως, ἐφύλαττον ἐν τῇ καρδίᾳ πάντα
having-become the prudence kept in the heart all
τὰ παρ᾽ αὐτοῦ διδασκόμενα, καὶ συνάξας τὸν πρώην
the(-things) from him taught and having-gathered the formerly
διεσπαρμένον μου νοῦν καὶ τὼ ὦτε ἀνοίξας πρὸς τὸ
scattered my mind and the two-ears having-opened to the
ἀκούειν, καὶ τὴν γλῶτταν εὔστροφον καταστήσας πρὸς
to-hear and the tongue nimble having-made for
τὴν τῶν λόγων πλοκὴν τῶν μεμελετημένων, καὶ
the of-the words weaving of-the(-ones) studied and
τὰς χεῖρας πρὸς τὸν λογισμὸν τῶν λέξεων μεμαθηκὼς
the hands for the reckoning of-the words having-learned

ἐξυπηρετεῖν. οὕτως οὖν, ὦ βασιλεῦ θειότατε πάτερ, ἐπὶ τῶν
to-serve thus then O king most-divine father in the
ἓξ μηνῶν τὸν καιρὸν πάντα τὰ διδαχθέντα κατέλαβον
six months the time all the(-things) taught I-grasped
ἀκριβέστατα, συμμαχούσης καὶ τῆς θείας δυνάμεως ἡμῖν,
most-exactly fighting-alongside also the divine power with-us
καὶ μετέλαβον τὴν εἴδησιν ἁπάσης φιλοσοφίας, ὅσον
and I-partook-of the knowledge of-all philosophy as-much-as
δυνατόν ἐστιν ἀνθρώποις ἡμῖν οὖσι καὶ ἐξ ἀνθρώπων."
possible it-is for-men us being and from men
Τούτοις τοῖς λόγοις τοῦ παιδὸς ὁ βασιλεὺς πολλὰ τὴν
at-these the words of-the boy the king much the
καρδίαν εὐφρανθείς, εὐχαριστηρίους λόγους ἀνέπεμπε τῷ
heart gladdened thankful words sent-up —
θεῷ καὶ τὴν τοῦ παιδὸς σύνεσιν καὶ φιλοσοφίαν δοξάζων
to-God and the of-the boy understanding and philosophy glorifying
καὶ ἐπαινῶν ὑπῆρχε τὰ μέγιστα καὶ τῷ φιλοσόφῳ καὶ
and praising was the greatest(-praises) and the philosopher and
διδασκάλῳ μεγάλως εὐχαριστῶν ἦν. μετὰ δὲ ταῦτα
teacher greatly thanking was after and these(-things)
πάντα κελεύει τὴν πονηρὰν ἐκείνην παραστῆναι γυναῖκα,
all he-orders the wicked that to-stand-by woman
ἥτις τὸν υἱὸν αὐτοῦ, τοιοῦτον ὄντα, ἐτεχνεύετο φονευθῆναι.
who the son his such being contrived to-be-killed
ἧς καὶ παραστάσης, ὁ βασιλεὺς λέγει αὐτῇ· "φανέρωσόν
she and having-stood-by the king says to-her make-known
μοι, ὦ γύναι, καὶ μηδὲν διὰ φόβον ὑποκρύψῃς, διὰ ποίαν
to-me O woman and nothing because-of fear hide for what
αἰτίαν τὸν υἱόν μου ἐσπούδαζες φονευθῆναι καὶ τίς ἦν ἡ
cause the son my you-were-eager to-be-killed and what was the
ἀφορμὴ τῆς τοιαύτης σου κατασκευῆς καὶ μανίας;" ἡ δὲ
pretext of-the such your contrivance and madness she and

ἀποκριθεῖσα ἔφη· "γινώσκεις, ὦ κράτιστε βασιλεῦ, ὡς οὐδέν
answering said you-know O mightiest king that nothing
ἐστί τινι τῶν ἐν κόσμῳ βιούντων ἀγαπητικώτερον
is to-anyone of-the(-ones) in (the)-world living dearer
ὡς ἡ ζωή. κἂν γάρ τίς ἐστι πένης ἐπὶ χρόνοις
than the life even-if for someone is poor for years
πολλοῖς, ἢ δι' ἀνάγκην τινὰ ἔχασε τὰ πράγματα
many or because-of necessity some lost the goods
αὐτοῦ, ἢ καὶ ἀδίκως ἀναγκάζεται παρά τινος, ἀλλ' ὅμως
his or also unjustly is-compelled by someone but nevertheless
τῆς ἰδίας ζωῆς φροντίζει. καὶ ἐγὼ λοιπὸν τὸν παῖδά σου
the own life he-cares-for and I then the boy your
διὰ τοῦτο ἔλαβον αὐτὴ κατὰ μόνας μετ' ἐμοῦ, διὰ τὴν
because-of this I-took myself in private with me for the
τοῦ κράτους σου θεραπείαν, ὅπως κατὰ μόνας δυνηθῶ
of-the majesty your service so-that by myself I-might-be-able
ἐγνωρίσαι διὰ ποίαν αἰτίαν οὐ λαλεῖ. καὶ μετὰ ἐρωτήσεων
to-learn for what cause not he-speaks and with questioning
καὶ κολακειῶν ἤμην συντυγχάνουσα αὐτῷ καὶ λόγους
and flatteries I-was meeting-with him and words
πραεῖς τούτῳ προέτεινα καὶ ἠγαπημένους. ἐμαλάκισα δὲ
gentle to-him I-put-forward and loving I-softened and
τὸ στερρὸν αὐτοῦ τῆς σιωπῆς μετὰ τοιούτων λόγων, ἕως
the stiffness his of-the silence with such words until
οὗ οἰκονόμησα αὐτὸν ἀποκριθῆναί μοι κἂν ἕνα λόγον. καὶ
— I-contrived him to-answer me even one word and
ἀπεκρίθη εἰπών μοι· "νῦν οὐκ ἀποκρίνομαι, ἕως οὗ ἀπὸ
he-answered having-said to-me now not I-answer until — from
τῆς σήμερον ἑπτὰ ἡμέραι παρέλθωσι, καὶ ὕστερον ὡς
the today seven days pass and afterward as
ἔνι δίκαιον ἀπολογήσομαι." ἐγὼ τοίνυν, τῷ λόγῳ τούτῳ
is just I-will-defend-myself I then by-the word this

διαταραχθεῖσα καὶ περίφοβος λίαν ὅτι μάλιστα γενομένη,
troubled and terrified very — most having-become
ὅτι εἰ ὁ παῖς λαλήσει, ἀπαγγελεῖ σου τῷ κράτει ὅσα ὑπὸ
that if the boy will-speak he-will-report your to-the majesty what by
σατανικῆς ἐνεργείας παρακινηθεῖσα κατεῖπον καὶ παρεκίνησα
satanic working moved I-denounced and I-provoked
τοῦτον, καὶ πανούργως ἐπὶ τοῦ κράτους σου κατηγόρησα.
him and villainously before the majesty your I-accused(-him)
καὶ τὸ σφάλμα μου γινώσκω καὶ φανερῶς τὸ πταῖσμά μου
and the fault my I-know and openly the sin my
καθομολογῶ καὶ εἰς οὐδένα λόγον ἀρνοῦμαι τοῦτο. λοιπόν,
I-confess and in no word I-deny it therefore
ὦ μέγιστε βασιλεῦ, ὅ σοι φαίνεται ποίησον εἰς ἐμέ,
O greatest king what to-you seems(-good) do to me
ὡς ἂν ὁρίσῃ τὸ εὔσπλαγχνον καὶ θεοπρόβλητον κράτος
as — may-order the merciful and God-appointed majesty
σου." ἐπὶ τούτοις ὁ βασιλεὺς ἀναβλέψας καὶ ἰδὼν
your at these(-things) the king having-looked-up and having-seen
τοῖς μεγιστᾶσιν αὐτοῦ καὶ χιλιάρχοις, εἶπεν αὐτοῖς· "τίνα
to-the grandees his and chiliarchs said to-them what
βουλὴν δίδετε ὑμεῖς ἐμοὶ περὶ τῆς γυναικὸς ταύτης, ὅπερ
counsel give you to-me about the woman this which
ἐποίησε πονηρὸν ἔργον, καὶ ποίαν τιμωρίαν ἐστὶν ἄξιον
did (an)-evil deed and what punishment is (it)-worthy
αὐτῇ διδόναι;" εἷς δέ τις τῶν μεγιστάνων λέγει αὐτῷ·
to-her to-give one and a-certain of-the grandees says to-him
"δίκαιόν ἐστιν, ὦ βασιλεῦ, χεῖρας καὶ πόδας τῆς γυναικὸς
just it-is O king (the)-hands and feet of-the woman
ἀποτμηθῆναι." ἕτερος δὲ ἀπεκρίνατο· "οὐχ οὕτως ἔχει τὸ
to-be-cut-off another and answered not so holds the
δίκαιον, ἀλλὰ ζώσης αὐτῆς ἐξορυχθῆναι τὴν καρδίαν." ἄλλος
just(-thing) but living her to-be-dug-out the heart another

δὲ τῶν μεγιστάνων ἔφη· "τὴν γλῶτταν αὐτῆς ἐκκοπῆναι
and of-the grandees said the tongue her to-be-cut-out
πρέπον ἐστί." καὶ ἡ γυνὴ τῶν τοιούτων ἀκούσασα
fitting is and the woman the such having-heard
ἀποφάσεων καὶ οἵας τιμωρίας ἀξίαν ἀποφαίνονται ταύτην,
sentences and of-what punishment worthy they-declare her
τοιοῦτόν τινα μῦθον πρὸς ἐκείνους ἀπεφθέγξατο·
such a-certain fable to those uttered
"Ὦ μεγιστᾶνες, φαίνονται τὰ παρ᾽ ὑμῶν λεγόμενα
O grandees appear the(-things) by you said
κατ᾽ ἐμοῦ πρὸς παράδειγμά τινος ἀλώπεκος, ἥτις διὰ
against me like (the)-example of-a-certain fox which through
πάσης νυκτὸς εἴς τινα πόλιν εἰσήρχετο. καὶ ἦν ἡ
every night into a-certain city went-in and was the
ταύτης εἰσέλευσις διὰ θυρίδος τινὸς ἀνθρώπου δέρματα
her entrance through (a)-window of-a-certain man skins
ἐργαζομένου· καὶ ὅσας φορὰς εἰσήρχετο εἰς τὸν οἶκον
working and as-many times she-went-in into the house
τοῦ ἀνδρὸς ἐκείνου, ἔτρωγε τὰ ἐκείνου δέρματα. εἶτα ὁ
of-the man that she-ate the his skins then the
ἐργαστὴς ἐκεῖνος ἰδὼν ὅσα σχίσματα ἐποίει, ἐξετάσας
workman that having-seen what tears she-made having-examined
γίνεσθαι διὰ τῆς ἀλώπεκος, εὐθὺς κατ᾽ αὐτῆς παγίδα
to-happen through the fox at-once against her (a)-trap
στερεὰν ἔστησε. καὶ ἡ ἀλώπηξ κατὰ τὴν συνήθειαν
strong set and the fox according-to the custom
βουληθεῖσα εἰσελθεῖν διὰ τῆς θυρίδος, ἐκρατήθη εἰς τὴν
having-wished to-go-in through the window was-held in the
παγίδα. πονηρὰ δὲ οὖσα ἡ ἀλώπηξ καὶ πολύτροπος, διά
trap wicked and being the fox and wily through
τινος εὐτέχνου μηχανῆς τὴν κρατήσασαν αὐτὴν παγίδα
a-certain artful device the having-held her trap

διέφυγε καὶ περιεπάτει κύκλῳ ἐκείνην τὴν πόλιν τοῦ
escaped and walked-about around that the city for-the
εὑρεῖν ἄλλην τινὰ θυρίδα, ὅπως δυνηθῇ ἐξελθεῖν τῆς
to-find other some window so-that she-might-be-able to-go-out of-the
πόλεως. ὡς δὲ δι' ὅλης τῆς νυκτὸς περιπατοῦσα, οὐχ
city as but through whole the night walking-about not
εὗρε τόπον τοῦ ἐκβῆναι, ἐπεὶ κύκλῳ τετειχισμένη ἡ
she-found (a)-place for-the to-get-out since around walled the
πόλις ἦν, καὶ τῆς ἡμέρας ἐγγιζούσης, ἔλεγεν ἐν ἑαυτῇ· "ἐὰν
city was and the day approaching she-said in herself if
ἡμέρα γένηται, πάντως ὑπὸ τῶν σκύλων κρατηθήσομαι,
day comes certainly by the dogs I-will-be-held
καὶ οὐκ ἐάσουσί με πρότερον, εἰ μὴ τὰς σάρκας μου
and not they-will-let-go me before if not the flesh my
διαρρήξουσιν. ἀλλ' ἐγὼ γινώσκω τί με δεῖ ποιῆσαι."
they-will-tear but I know what me it-is-needful to-do
καὶ δὴ πορεύεται ἐπὶ τὴν πύλην τῆς πόλεως καὶ ἑαυτὴν
and indeed she-goes to the gate of-the city and herself
πλησίον που τῆς φλιᾶς κατέκλινεν, προσποιουμένη
near somewhere the doorpost laid-down pretending
νεκρὰν καὶ ἄπνουν ἑαυτὴν εἶναι. οὕτω δὲ αὐτῆς κειμένης
dead and breathless herself to-be thus and her lying
ὡς νεκρᾶς καὶ τῆς πύλης τὸ πρωῒ ἀνοιχθείσης ὡς
as dead and the gate the morning having-been-opened as
ἔθος παρὰ τοῦ πορταρίου, εἶδέ τις αὐτὴν κειμένην
(the)-custom by the gatekeeper saw someone her lying
καὶ λέγει πρὸς τὸν πορτάρην· "κατὰ ἀλήθειαν ἡ οὐρὰ
and says to the gatekeeper in truth the tail
τῆς ἀλεποῦς ταύτης πολλά ἐστι καλὴ εἰς τὸ σπογγίζειν
of-the fox this very is good for the to-sponge
τὸν μυλῶνα." καὶ εὐθὺς ὁ τοῦτο εἰπὼν λαβόμενος
the mill and at-once the(-one) this having-said having-taken

μάχαιραν, ἔκοψε τὴν οὐρὰν αὐτῆς. ἡ δὲ ἀλώπηξ ἀνδρείως
(a)-knife cut-off the tail her the and fox bravely
ὑπέμεινε τὸν πόνον τῆς οὐρᾶς. εἶτά τις ἕτερος αὐτὴν
endured the pain of-the tail then someone another her
ἰδών, ἔφη· "ἐὰν ἔχῃ τις παιδίον μικρὸν κλαῖον πολλά,
having-seen said if has someone (a)-child small weeping much
οὐδὲν ἄλλο ἐστὶν εἰς θεραπείαν καλόν, εἰ μὴ τὰ ὦτα τῆς
nothing other is for cure good if not the ears of-the
ἀλεποῦς, τοῦ κρατεῖν αὐτὰ πάντοτε ἐπάνω τοῦ παιδός."
fox for-the to-hold them always over the child
καὶ εὐθὺς ἔκοψε καὶ αὐτὸς τὰ ὦτα αὐτῆς. καὶ ἡ ἀλώπηξ
and at-once cut-off also he the ears her and the fox
καὶ τοῦτον τὸν πόνον γενναίως ὑπέμεινεν. ἄλλος τις
also this the pain nobly endured another someone
πάλιν παρερχόμενος τὴν ὁδὸν ἐκείνην καὶ ταύτην ἰδὼν
again passing-along the road that and her having-seen
ὡς νεκράν, εἶπεν· "ἀκήκοά τινος λέγοντος ὡς ἐάν τις
as dead said I-have-heard someone saying that if anyone
τοὺς ὀδόντας πονῇ, καὶ θήσῃ ἐπάνω ὀδόντα ἀλεποῦς,
the teeth aches and puts over (a)-tooth of-(a)-fox
εὐθὺς τοῦ πόνου ἐλευθεροῦται." καὶ ἅμα τῷ λόγῳ λίθον
at-once from-the pain he-is-freed and with the word (a)-stone
λαβών, ἅπαντας τοὺς ὀδόντας ἐκείνης συνέτριψε. καὶ ἡ
having-taken all the teeth her he-crushed and the
ἀλώπηξ πάντα τὰ δεινὰ ταῦτα ὑπέμεινεν ἀνδρικῶς,
fox all the terrible(-things) these endured manfully
ἕως οὗ ἄλλος ἄνθρωπος περιπατῶν εἶπεν· "ἐγὼ ἀκήκοα
until — another man walking-about said I have-heard
εἰς πᾶσαν ὀδύνην ὠφελεῖν τῆς ἀλώπεκος τὴν καρδίαν, καὶ
for every pain to-help of-the fox the heart and
ὡς εἰς ἅπαν νόσημά ἐστι θεραπευτική." οὕτως εἰπόντος
that for every disease it-is healing thus having-said

τοῦ ἀνθρώπου ἐκείνου καὶ μάχαιραν λαβόντος πρὸς τὸ τὴν
the man that and (a)-knife having-taken for the the
καρδίαν αὐτῆς ἐκβαλεῖν, ἡ ἀλώπηξ εὐθέως ἐκπηδήσασα,
heart her to-take-out the fox at-once having-leaped-out
σπουδαίως διὰ τῆς θύρας τοῦ κάστρου ἐξέφυγεν —
hastily through the door of-the fort escaped
ἔτυχε γὰρ τὴν πύλην τότε ἠνεῳγμένην εὑρεθῆναι — καὶ
it-happened for the gate then open to-be-found and
τοῦ φόνου οὗ ἔμελλε παθεῖν ἠλευθερώθη. Καὶ ἐγὼ
from-the slaughter which she-was-about to-suffer she-was-freed and I
νῦν ἡ ἀθλία, ὦ βασιλεῦ, πάντα ὅσα οἱ ἄρχοντές σου
now the wretched O king all what the rulers your
συμβουλεύονταί σοι ἑτοίμη εἰμὶ ὑπομεῖναι, τὴν δὲ καρδίαν
counsel to-you ready am to-endure the but heart
μου ἐκβαλεῖν βιαίως οὐ δύναμαι ὑπομεῖναι· θάνατος γάρ
my to-take-out by-force not I-can endure death for
ἐστι τοῦτο πικρὸς καὶ ὀδυνηρός."
is this bitter and painful
Ἐπὶ τούτοις ἀποκριθεὶς ὁ τοῦ βασιλέως υἱὸς λέγει τῷ
at these(-things) answering the of-the king son says to-the
πατρὶ καὶ τοῖς παρεστῶσιν ἄρχουσιν· "ἀληθῶς ἡ γυνὴ
father and to-the standing-by rulers truly the woman
λέγει καὶ πρεπόντως· οὐδὲ γὰρ πρέπει τοὺς φρονίμους
speaks and fittingly nor for it-is-fitting the wise
καὶ συνετοὺς τῶν ἀνθρώπων τὰ τῶν γυναικῶν σφάλματα
and understanding of-the men the of-the women faults
εἰς ἀφορμὴν καὶ μέμψιν καὶ κατηγορίαν μεγάλην ἔχειν·
as (a)-pretext and blame and accusation great to-have
καὶ οὐδὲ αὐτὴν τὴν γυναῖκα πρέπει μεγάλης τιμωρίας καὶ
and nor herself the woman befits of-great punishment and
παιδεύσεως ἀπόφασις. ἀλλὰ τοῦτο μόνον ἐστὶ δίκαιον αὐτῇ
chastisement (a)-sentence but this only is just to-her

γενέσθαι, ἵνα ἡ κεφαλὴ αὐτῆς ξυρισθῇ καὶ τὸ πρόσωπον
to-happen that the head her be-shaved and the face
αὐτῆς μουτζωθῇ, καὶ ἐπάνω ὄνου ἐξόπισθεν καθίσῃ καὶ εἰς
her be-blackened and upon (an)-ass backward she-sit and through
πᾶσαν ἐκπομπευθῇ τὴν πόλιν, δύο δὲ κήρυκες πορεύωνται
all be-paraded the city two and heralds go
μετ᾽ αὐτῆς ἔμπροσθέν τε καὶ ὄπισθεν, καὶ δεῖ λέγειν αὐτοὺς
with her before both and behind and must say they
φωνῇ μεγάλῃ ὥστε πάντας ἀκούειν, εἴ τι ἄρα κακὸν
with-voice loud so-that all hear if anything then evil
αὕτη εἴργασται.” οὕτως εἰπόντος τοῦ υἱοῦ τοῦ βασιλέως,
she has-done thus having-spoken the son of-the king
ηὐφράνθη ὁ βασιλεὺς καὶ πάντες οἱ ἄρχοντες ἐστερέωσαν
rejoiced the king and all the rulers confirmed
τὰ λαληθέντα, ἀποδεξάμενοι τὴν τοιαύτην βουλήν. ὁ
the(-things) spoken having-accepted the such counsel the
δὲ βασιλεύς φησι πρὸς τὸν υἱὸν αὐτοῦ· “ὦ τέκνον, καλῶς
and king says to the son his O child well
λελάληκας καὶ φρονίμως ἡμῖν συνεβούλευσας. λοιπὸν
you-have-spoken and wisely us counseled therefore
γενέσθω ἐπ᾽ αὐτῇ καθὼς ὁ υἱός μου ἡμῖν συνεβουλεύσατο.”
let-it-be-done to her as the son my us counseled
καὶ ἅμα πάντα ἐγένετο ἐπ᾽ ἐκείνῃ τῇ πονηρᾷ γυναικὶ
and at-once all(-things) were-done to that the wicked woman
ὅσα ὁ νέος τοῦ βασιλέως υἱὸς συνεβουλεύσατο.
what the young of-the king son counseled

Syntipas tells of a philosopher's son foretold to become a robber in his thirteenth year. Reared in seclusion, at fifteen he steals a sheet from the king's bed to buy perfumes for his presentation, and the king recognizes the thief. Each man's birth carries an appointed fortune. The prince describes the painted walls on which Syntipas wrote ten headings of wisdom, and answers his father on fate, on why the wise poor go unhonored, and on the duties of a king.

Εἶτά φησιν ὁ βασιλεὺς τῷ φιλοσόφῳ Συντίπᾳ· "φανέρωσόν
then says the king to-the philosopher Syntipas make-known
μοι, ὦ φιλόσοφε, καὶ ἀληθῶς ἀπόδειξον πόθεν ἡ τοσαύτη
to-me O philosopher and truly show whence the so-great
γνῶσις καὶ φιλοσοφία προσεγένετο τῷ υἱῷ μου; μὴ
knowledge and philosophy came to-the son my (was-it)-not
ἐξ αὐτῆς τῆς γεννήσεως φυσικὴν ἔλαβε τὴν λογιότητα; ἢ
from very the birth natural he-received the learning or
μᾶλλον διὰ τῆς σῆς ἐπιμελείας σεσόφισται;" ἀποκριθεὶς
rather through the your care has-he-become-wise answering
δὲ ὁ Συντίπας λέγει τῷ βασιλεῖ· "ἡ τοῦ υἱοῦ σου,
and — Syntipas says to-the king the of-the son your
δέσποτα, σύνεσις ἅμα καὶ γνῶσις ἐκ θεοῦ ἐν πρώτοις
master understanding together and knowledge from God in (the)-first(-place)
κεχάρισται· ἀλλὰ καὶ αὐτὴ ἡ τύχη τῆς γεννήσεως αὐτοῦ τὸ
has-been-granted but also very the fortune of-the birth his the
τῆς γνώσεως προτέρημα ἔχει· ἐπειδὴ καὶ ἡ ἐμὴ ἐπιμέλεια
of-the knowledge advantage has since also the my care
καὶ σπουδὴ ἐσμίχθη τούτοις τοῖς δύο, καὶ διὰ τοῦτο
and zeal was-mixed with-these the two and because-of this
ἔλαβεν ὁ υἱός σου τὸ ὑπερβάλλειν πάντας ἐν γνώσει. πλὴν
received the son your the to-surpass all in knowledge but
περὶ τούτου καί τινός μου διηγήσεως ἄκουσον." ὁ βασιλεὺς
about this also some my narration hear the king

ἔφη· "εἰπὲ ὃ βούλει, Συντίπα, τῇ ἀληθείᾳ φιλοσοφώτατε."
said say what you-wish Syntipas in-the truth most-philosophical
ὃ δὲ τοιαύτης πρὸς αὐτὸν ἐξηγήσεως ἀπήρξατο·
he and such to him (an)-account began
"Βασιλεύς τις ἦν ἐν τοῖς ἄνωθεν χρόνοις, ὅστις
(a)-king a-certain there-was in the former times who
εἶχε μετ' αὐτοῦ πολλοὺς φιλοσόφους, ἐξ ὧν εἷς ὑπῆρχε
had with him many philosophers of whom one was
τῶν ἄλλων μειζότερος λίαν. ἦν δὲ παρ' ἐκείνῳ
than-the others greater very there-was and with that
τῷ βασιλεῖ ἄνθρωπός τις τὴν ἀστρολογικὴν τέχνην
the king (a)-man a-certain the astrological art
μεγάλως γινώσκων καὶ μετερχόμενος. τῷ οὖν πρώτῳ
greatly knowing and pursuing to-the then first
φιλοσόφῳ ἐκείνῳ τοῦ βασιλέως γεννᾶται τότε υἱός. καὶ
philosopher that of-the king is-born then (a)-son and
εἶπον τοῦτο τῷ βασιλεῖ ὡς "ὁ δεῖνα φιλόσοφος ἐγέννησεν
they-told this to-the king that the so-and-so philosopher begot
υἱὸν σήμερον." ὁ δὲ βασιλεὺς εὐθὺς τὸν ἀστρολόγον
(a)-son today the and king at-once the astrologer
προσεκαλέσατο. καὶ ὁ ἀστρολόγος πρότερον, τὴν γέννησιν
summoned and the astrologer before the birth
τοῦ παιδὸς ἀκούσας, ἐξέτασεν ἐν τοῖς ἄστροις περὶ τῆς
of-the boy having-heard examined in the stars about the
τύχης τοῦ παιδός· καὶ ὡς ὁ βασιλεὺς αὐτὸν ἐλάλησε τοῦ
fortune of-the boy and when the king him spoke-to for-the
ἐρωτῆσαι αὐτὸν περὶ τοῦ παιδός, αὐτὸς ἅμα λέγει τῷ
to-ask him about the boy he at-once says to-the
βασιλεῖ· "ὁ παῖς οὗτος, ὦ δέσποτα, ὁ νῦν γεννηθείς,
king the boy this O master the(-one) now born
ἐξ ὧν με διδάσκουσιν οἱ τῶν ἀστέρων δρόμοι, τὴν τῶν
from what me teach the of-the stars courses the of-the

λῃστῶν καὶ κακούργων κακὴν τύχην ἔχει, καὶ πολλοὺς
robbers and evildoers evil fortune has and many
ἐπιζήσει χρόνους, καὶ τῷ τρισκαιδεκάτῳ ἔτει τῆς ζωῆς
will-live years and in-the thirteenth year of-the life
αὐτοῦ μέγα κακὸν καὶ κλεψίαν ποιήσει." τούτων οὕτως
his great evil and theft he-will-do these(-things) thus
λαληθέντων παρὰ τοῦ ἀστρολόγου, λέγει πρὸς αὐτὸν
spoken by the astrologer says to him
ὁ πατὴρ τοῦ τεχθέντος παιδός· "νῦν λοιπὸν ὅλα
the father of-the begotten boy now then all(-things)
κατὰ ἀλήθειαν ἐφανέρωσας τῷ βασιλεῖ τὰ περὶ τοῦ
in truth you-revealed to-the king the(-things) about the
γεννηθέντος μοι παιδός;" ὁ δέ "ναί," φησίν, "ὦ φιλόσοφε·
born to-me boy he and yes says O philosopher
καὶ γὰρ ἀκριβῶς ἐξέτασα τὰ περὶ τῆς τύχης τοῦ
and for exactly I-examined the(-things) about the fortune of-the
παιδός, καὶ εὗρον ὅτιπερ λῃστὴς γενήσεται καὶ λῃστῶν ὁ
boy and I-found that (a)-robber he-will-become and of-robbers the
χαλεπώτατος." ἀποκριθεὶς δὲ ὁ φιλόσοφος λέγει ἐκείνῳ
most-grievous answering and the philosopher says to-that
τῷ βασιλεῖ· "ἐγὼ λοιπὸν τὸν ἐμὸν παῖδα παιδεύσω οὕτως
the king I then the my boy will-train thus
ἐν τάξει τοιαύτῃ, τοῦ μὴ ποιῆσαι αὐτὸν τοιαύτην ποτὲ
in order such for-the not to-do him such ever
πρᾶξιν· ἀλλὰ μᾶλλον ποιήσω αὐτὸν φεύγειν ἐκ τῶν
(a)-deed but rather I-will-make him to-flee from the
ἀπηγορευμένων πράξεων." ὁ μὲν οὖν γεννηθεὶς παῖς ὀκτὼ
forbidden deeds the indeed then born boy eight
μηνῶν γεγονώς, διέκοψεν αὐτὸν τοῦ βυζάνειν τὸ γάλα
months having-become stopped him from-the to-suck the milk
τῆς μητρός· ὕστερον δὲ ὁ πατὴρ αὐτοῦ ἐγκατακλείει
of-the mother afterward and the father his shuts-in

αὐτὸν ἐν ὁσπητίῳ τινὶ καὶ τρέφει αὐτὸν μὲ τρυφερὰ καὶ
him in (a)-house some and feeds him with delicate and
μαλακὰ βρώσιμα καὶ πᾶσαν παίδευσιν αὐτὸν ἐκδιδάσκει
soft foods and all training him teaches
καὶ ἐντιμότητα. καὶ οὕτως τὸν υἱὸν μετὰ πάσης ἀκριβείας
and honorableness and thus the son with all exactness
παιδεύων, οὐκ ἀφῆκεν ὅλως τινά ποτε τοῦ ἐλθεῖν πρὸς
training not let at-all anyone ever for-the to-come to
αὐτόν, οὐδὲ τὸ παιδίον ἔξω τοῦ ὁσπητίου περιπατεῖν. ἀλλ᾽
him nor the child outside the house to-walk-about but
οὐδέ τι κακὸν τῶν τοῦ κόσμου ἀφῆκε τὸν παῖδα
nor any evil of-the(-things) of-the world let the boy
μαθεῖν ἢ ἀκοῦσαι. καὶ οὕτως ἀνατρεφόμενος ἤρξατο τὸν
to-learn or to-hear and thus being-brought-up he-began the
πεντεκαιδέκατον χρόνον. καὶ λέγει ὁ πατὴρ πρὸς τὸν
fifteenth year and says the father to the
παῖδα· "αὔριον, ὦ παῖ, βουλόμενος ἀπελθεῖν πρὸς τὸν
boy tomorrow O boy wishing to-go-away to the
βασιλέα, βούλομαι καί σέ γε λαβεῖν· καὶ γίνωσκε πῶς
king I-wish also you — to-take and know how
μετὰ τὴν συνήθη προσκύνησιν χαιρετήσεις τὸν βασιλέα
after the customary obeisance you-will-greet the king
καὶ ὡς πρέπει χαιρετήσεις αὐτόν." οὕτω μὲν οὖν ὁ
and as is-fitting you-will-greet him thus indeed then the
φιλόσοφος ἔλεγε τῷ υἱῷ· ὁ δὲ νέος ἀκούσας τὴν
philosopher spoke to-the son the and young(-man) having-heard the
πρὸς τὸν βασιλέα παρουσίαν αὐτοῦ, ἠγωνίζετο μᾶλλον
to the king presence his was-anxious rather
ἐπὶ τῷ λόγῳ τοῦ πατρὸς καὶ καθ᾽ ἑαυτὸν ἔλεγεν ὅτι
at the word of-the father and by himself said that
"ἐγὼ οὐδέποτε βασιλέα τινὰ εἶδον, καὶ ἐπειδὴ ὁ πατήρ
I never king any saw and since the father

μου ἀρτίως λέγει μοι προσκυνῆσαι τούτῳ, πρέπει με
my just-now tells me to-make-obeisance to-him it-befits me
ἀρωματικὰ εἴδη προσαγαγεῖν τῷ βασιλεῖ, ὅπως διὰ
aromatic kinds to-bring to-the king so-that through
τῆς ὀσμῆς τούτων καὶ εὐωδίας ἐγκωμιάσαι τὸν βασιλέα.
the smell of-these and fragrance to-honor the king
ἀλλὰ ἐντρέπομαι ζητῆσαι ταῦτα τῷ πατρί μου· ἀλλ'
but I-am-ashamed to-ask these(-things) of-the father my but
ὅμως πρέπει ποιῆσαί με τοῦτο." ὅτε καὶ τῇ ἐπελθούσῃ
nevertheless it-befits to-do me this when also in-the coming
νυκτὶ ἐξέρχεται κρυφίως ἀπὸ τοῦ πατρὸς αὐτοῦ καὶ
night he-goes-out secretly from the father his and
ἀπέρχεται εἰς τὸ παλάτιον καὶ τρυπήσας τὸν τοῖχον
goes-away to the palace and having-bored-through the wall
τοῦ παλατίου, εἰσῆλθεν ἐντὸς εἰς τὸ βασιλικὸν κραββάτιον.
of-the palace entered within to the royal bed
καὶ ὁ βασιλεύς, ἅμα γενόμενος ἔξυπνος, εἶδεν αὐτὸν καὶ
and the king at-once having-become awake saw him and
ἐταράχθη, καὶ δειλιάσας καὶ πολλὰ φοβηθεὶς ἔλεγε πρὸς
was-troubled and having-taken-fright and much having-feared said to
ἑαυτὸν ὅτι, "ἐὰν μὴ οὗτος ὁ κλέπτης εἶχε πολλὴν δύναμιν,
himself that if not this the thief had much power
οὐκ ἂν οὕτως περὶ τὸ μέσον τῆς νυκτὸς ἐτόλμησεν
not — thus about the middle of-the night he-would-have-dared
εἰσελθεῖν· καὶ ἐὰν ἀντιπαραστῶ αὐτῷ, ἐπιχειρήσει ἀνελεῖν
to-enter and if I-stand-against him he-will-try to-kill
με." ταῦτα καθ' ἑαυτὸν βουλευσάμενος καὶ σιωπήσας,
me these(-things) by himself having-resolved and having-kept-silent
ἀφῆκεν ἄδειαν τῷ κλέπτῃ· τότε ὁ νέος ἀδείας
he-left freedom to-the thief then the young(-man) freedom
ἐπιλαβόμενος, ἁπλώσας εἰς τὰ ῥοῦχα τοῦ βασιλέως,
having-seized having-stretched-out to the clothes of-the king

ἔλαβε μίαν σινδόνα πολλῆς τιμῆς ἀξίαν. ἐκείνην γοῦν
took one linen-sheet of-much price worthy that then
μόνην τὴν σινδόνα λαβών, ἐξῆλθε τοῦ παλατίου. καὶ εὐθὺς
only the sheet having-taken went-out of-the palace and at-once
ταύτην διαπωλήσας, ἀπὸ τῆς τιμῆς τῆς σινδόνος μυρσίνας
it having-sold from the price of-the sheet myrtles
καὶ ἄλλα μυριστικὰ ἠγόρασε πολλά. ὁ μὲν οὖν βασιλεὺς
and other fragrant(-things) bought many the indeed then king
οὐκ ἐγνώρισε τὸν κλέπτην τῇ νυκτὶ ἐκείνῃ· τῇ δ'
not recognized the thief in-the night that on-the and
ἐπαύριον λαβὼν ὁ πατὴρ τὸν παῖδα πρὸς τὸν βασιλέα
morrow having-taken the father the boy to the king
ἐπορεύετο. καὶ εἰσελθόντες προσεκύνησαν αὐτὸν μέχρις
went and having-entered made-obeisance-to him to
ἐδάφους· καὶ ὁ παῖς ἅμα τὰ εἴδη ἅπερ ἠγόρασε μυριστικὰ
(the)-ground and the boy at-once the kinds which he-bought fragrant
καὶ λίαν εὔμορφα τῷ βασιλεῖ προσήνεγκε, καὶ χωρὶς τῶν
and very comely to-the king brought and apart-from the
μυριστικῶν ἐκείνων ἤρξατο ἐγκωμιάζειν καὶ ἐπαινεῖν τὸν
fragrant(-things) those began to-honor and to-praise the
βασιλέα. εἶπε δὲ ὁ φιλόσοφος πρὸς αὐτόν· "ὦ βασιλεῦ,
king said and the philosopher to him O king
ζῆθι εἰς τὸν αἰῶνα. ἰδού, καθὼς ὁρᾷς, τῇ βασιλείᾳ σου
live for the age look as you-see to-the kingship your
προσέφερον τὸν παῖδά μου, ὑπὲρ οὗ ὁ ἀστρολόγος
I-have-brought the boy my about whom the astrologer
σου εἶπεν· 'ἐν τῷ τρισκαιδεκάτῳ ἔτει τῆς ἡλικίας αὐτοῦ
your said in the thirteenth year of-the age his
μέλλει ἄρξασθαι τοῦ γενέσθαι λῃστής'· καὶ νῦν ἰδοὺ
he-is-about to-begin the to-become (a)-robber and now look
πεντεκαίδεκα ἐτῶν γεγονὼς οὐδὲ κἂν κλεψίαν ἐποίησε.
fifteen years having-become not-even even (a)-theft he-has-done

καὶ λοιπὸν ὁ ἀστρολόγος σου ψευδὴς φαίνεται· καὶ ἀπὸ
and then the astrologer your false appears and from
τούτου ὅσα φαίνεται προλέγων φλυαρίαι ἀπεδείχθησαν
this what(-things) be-appears foretelling nonsense have-been-shown
νῦν." ὁ δὲ βασιλεὺς ἐπὶ τούτοις τοῖς λόγοις ἀκριβῶς καὶ
now the and king at these the words exactly and
μετὰ περιεργείας ἀτενίσας τῷ προσώπῳ τοῦ παιδὸς καὶ
with curiosity having-gazed at-the face of-the boy and
τῷ σχήματι, ἐγνώρισεν ὡς αὐτός ἐστιν ὁ τὸν τοῖχον
the figure recognized that he is the(-one) the wall
τρυπήσας καὶ ὡς τολμηρὸς κλέπτης καὶ ἀναίσχυντος
having-bored-through and as (a)-bold thief and shameless
τὴν ἐν τῇ στρωμνῇ τοῦ βασιλέως σινδόνα οὗτος ἔκλεψε.
the in the bed of-the king sheet he stole
καὶ ἀποκριθεὶς ὁ βασιλεὺς εἶπε τῷ φιλοσόφῳ· "οὗτός
and answering the king said to-the philosopher this
ἐστιν ὁ κατὰ τῆς βασιλείας εἰσελθὼν κλέπτης." καὶ ἀπὸ
is the against the kingship having-entered thief and from
τούτου μᾶλλον ἐπιστεύθη ἡ τοῦ ἀστρολόγου πρόγνωσις
this more was-believed the of-the astrologer foreknowledge
ἀληθὴς εἶναι. Ἀπὸ ταύτης οὖν τῆς διηγήσεως λοιπὸν
true to-be from this then the narration therefore
γίνωσκε, ὦ κράτιστε βασιλεῦ, ὅτι ἑκάστου ἀνθρώπου
know O mightiest king that of-each man
τῇ γεννήσει χωρισμένη τις ἀπὸ θεοῦ κεῖται τελείωσις
to-the birth (a)-separate some from God lies fulfillment
ἐγνωσμένη, οὐχ ὁρισμένη ἡμῖν, ἢ εὐτυχίας ἢ ἀτυχίας,
known not determined to-us either of-good-fortune or of-misfortune
ἀλλ' οὐδὲ προτρεπομένη παρὰ θεοῦ· καθὼς καὶ ἐπὶ τῇ
but nor urged-on by God as also at the
γεννήσει τοῦ σοῦ υἱοῦ γέγονεν, ὅτι οὐκ ἐν ἀρχῇ τῆς
birth of-the your son happened that not in (the)-beginning of-the

ἡλικίας παιδίον ὢν ἔμαθεν, ἀλλ᾽ ὕστερον εἰς ἀνδρὸς ἡλικίαν
age (a)-child being he-learned but later into (a)-man's age
ἐλθών· συνῆλθον οὖν αὐτῷ τὰ καλὰ καὶ ἐπαινετὰ καὶ
having-come came-together then with-him the good and praiseworthy and
εὐτυχίας γέμοντα ἔργα. ἐν δὲ τῇ γεννήσει τοῦ παιδὸς τοῦ
of-good-fortune full deeds in but the birth of-the boy of-the
φιλοσόφου ἐκείνου, οὗ εἶχεν ἐκεῖνος ὁ βασιλεύς, συνῆλθε
philosopher that whom had that the king came-together
τῇ τύχῃ αὐτοῦ τὰ μυσαρὰ καὶ ἀτυχίας μεστά."
with-the fortune his the loathsome and of-misfortune full(-things)
Ταῦτα τῷ βασιλεῖ Κύρῳ τοῦ Συντίπα διηγησαμένου,
these(-things) to-the king Cyrus — Syntipas having-related
φησὶν ὁ βασιλεὺς πρὸς τὸν ἑαυτοῦ παῖδα· "εἰπέ μοι,
says the king to the his-own boy tell me
περιπόθητόν μου παιδίον, πῶς ἄρα καὶ ποίῳ τρόπῳ ὁ
much-desired my child how then and in-what manner the
διδάσκαλός σου Συντίπας τὴν τοσαύτην σε φιλοσοφίαν
teacher your Syntipas the so-great you philosophy
ἐδίδαξεν." ὁ δὲ παῖς τῷ πατρὶ ἀπεκρίνατο· "ἐπειδήπερ
taught the and boy to-the father answered since
νῦν ἀπὸ τὴν ἀρχὴν ζητεῖς μαθεῖν, ὦ βασιλεῦ, γνωρίζω
now from the beginning you-seek to-learn O king I-make-known
πάλιν τῷ κράτει σου, ὡς παραλαβών με ἀπὸ σοῦ ὁ
again to-the majesty your that having-received me from you the
διδάσκαλος καὶ ἀγαγών με εἰς τὴν οἰκίαν αὐτοῦ, εὐθὺς
teacher and having-led me to the house his at-once
ἔκτισε νέον οἶκον, καὶ χρίσας αὐτὸν μετὰ λευκοῦ
built (a)-new house and having-plastered it with white
κατελάμπρυνε τοῦτον. εἶτα ὅσα ἔμελλε τοῦ διδάξαι
made-bright it then what(-things) he-was-about for-the to-teach
με, ἱστόρησεν αὐτὰ ἐν τοῖς τοίχοις τοῦ οἴκου καὶ πᾶσαν
me he-painted them on the walls of-the house and all

τὴν ἱστορίαν ἐχώρισε διὰ γραμμάτων καὶ μετὰ ἀκριβείας
the story he-distinguished by letters and with exactness
ἅπαντα συνετάξατο καὶ τὸν ἥλιον δὲ καὶ τὴν σελήνην
all arranged and the sun and also the moon
καὶ τοὺς ἀστέρας ἐκεῖ ἐζωγράφησεν. ἔγραψε δὲ καὶ τὰ
and the stars there painted he-wrote and also the
δέκα κεφάλαια τῆς σοφίας καὶ τῆς γνώσεως καὶ τῆς
ten headings of-the wisdom and of-the knowledge and of-the
διδασκαλίας. ὧν τὸ πρῶτον κεφάλαιον περὶ ἀπαιδεύτου
teaching of-which the first heading about (an)-uneducated
καὶ ὑβριστοῦ ἀνδρός· ὁ γὰρ τοιοῦτος ἄνθρωπος μέσον
and insolent man the for such man among
ἀδελφῶν καὶ φίλων φιλονεικίας καὶ μάχας ἐγείρει. τὸ
brothers and friends quarrels and fights rouses the
δεύτερον κεφάλαιον περὶ φιλοσόφου ἐδίδαξεν ἀνδρός· ὁ
second heading about (a)-philosophic he-taught man the
γὰρ τοιοῦτος ἄνθρωπος μεγάλην ὠφέλειαν ποιεῖ τῷ φίλῳ
for such man great benefit does to-the friend
αὐτοῦ. τὸ τρίτον κεφάλαιον περὶ δολιόφρονος ἀνδρὸς καὶ
his the third heading about (a)-deceitful man and
πονηροῦ, καὶ ὅτι ὁ τοιοῦτος ἄνθρωπος οὐδέποτε ἀγανακτεῖ
wicked and that the such man never is-vexed
εἰ δόλους κατασκευάζει καὶ κακοῖς κακὰ συρράπτει κατὰ τοῦ
if tricks he-contrives and with-evils evils stitches against the
πλησίον, ἐκείνου μὴ γινώσκοντος. τὸ τέταρτον κεφάλαιον ἦν
neighbor that(-one) not knowing the fourth heading was
περὶ ἀνθρώπου ὀνειδίζοντος ἀπρεπῶς ἑτέρῳ ἀνθρώπῳ πῶς
about (a)-man reproaching unbecomingly another man how
ἢ ἀπὸ ἀρρωστίας ἢ ἀπὸ ἀσθενείας ἐπισυμβάσης λεπρὸς
either from sickness or from weakness having-befallen (a)-leper
γέγονεν ἢ ἀφ' ἑτέρου συμβάματος ἀνθρωπίνου ἐν τῷ ἰδίῳ
he-has-become or from another accident human in the own

σώματι περιφέρει ἀσχημοσύνην. τὸ πέμπτον, ὡς οὐ πρέπει
body carries-about disfigurement the fifth that not it-is-fitting
τινὰ κριτὴν ἢ ἄρχοντα ἢ βασιλέα ἀπόφασιν ποιεῖν περὶ
any judge or ruler or king (a)-sentence to-make about
παντὸς πράγματος, πρὶν καλῶς ἀκούσῃ καὶ ἐξετάσῃ τὴν τοῦ
every matter before well he-hears and examines the of-the
πράγματος ἀλήθειαν. τὸ ἕκτον κεφάλαιον, ὅτι οὐ πρέπει
matter truth the sixth heading that not it-is-fitting
τινὰ ἐλπίζειν εἰς ἄνθρωπον ἄφρονα καὶ παντελῶς ἰδιώτην.
anyone to-hope in (a)-man senseless and wholly ignorant
τὸ ἕβδομον ἑρμήνευε περὶ ἀνδρὸς φθονεροῦ, ζηλοτυποῦντος
the seventh explained about (a)-man envious jealous-of
ἄλλους ἀνθρώπους καλῶς πράττοντας καὶ εὐτυχοῦντας,
other men well faring and prospering
ἢ διότι ἔχουσι προτέρημα ἀξιέπαινον καὶ διὰ τοῦτο
either because they-have (an)-advantage praiseworthy and because-of this
πλουτοῦσιν ἢ διότι ἀγωνίζονται περιττὸν βίον ἢ διότι ἀπὸ
are-rich or because they-strive-for (an)-abundant life or because from
πατέρων ἐκληρονόμησαν· καὶ ὁ ἄνθρωπος ὁρῶν αὐτοὺς
fathers they-inherited and the man seeing them
φθονεῖ καὶ λυπεῖται καὶ μαραίνεται, διότι μᾶλλον οὐ δύναται
envies and grieves and wastes-away because rather not he-can
βλάψαι αὐτούς. τὸ ὄγδοον κεφάλαιον διδάσκον ἔλεγε·
harm them the eighth heading teaching said
“δίκαιόν ἐστι καὶ πρέπον πάντας ἀνθρώπους ἀγαπᾶν, καὶ μὴ
just it-is and fitting all men to-love and not
τῷ κακῶς ποιήσαντι ἀνταποδοῦναι κακόν.” τὸ ἔννατον,
to-the(-one) evil having-done to-repay evil the ninth
ὅτι πρέπει ὡς θέλει τις ἵνα ποιῇ ἄνθρωπος εἰς αὐτόν,
that it-is-fitting as wishes anyone that do (a)-man to him
ἵνα καὶ αὐτὸς ποιῇ ἄλλους ὁμοίως. τὸ δέκατον κεφάλαιον
that also he do (to)-others likewise the tenth heading

συνεβούλευε καὶ μετὰ τῶν ἐργαζομένων τὰ ἀσεβῆ ἔργα
counseled also with the(-ones) working the impious works
καὶ πράξεις κακάς, καὶ δυναστευόντων τοὺς πτωχοὺς μὴ
and deeds evil and oppressing the poor not
φιλίαν ὅλως ποιεῖν, μηδὲ τὰ ἴσα πράττειν τοῖς ἀδίκοις
friendship at-all to-make nor the same to-do with-the unjust
καὶ πλεονεξίαις καὶ ἁρπαγαῖς χρωμένοις καὶ χαίρουσι."
and greed and plunder using and rejoicing
Ταῦτα ὁ βασιλεὺς ἀκούσας παρὰ τοῦ υἱοῦ εὐχαριστηρίους
these(-things) the king having-heard from the son thankful
λόγους ἀνέπεμπε τῷ θεῷ καὶ τὸν αὐτοῦ διδάσκαλον
words sent-up — to-God and the his teacher
ἐκάθητο ἐγκωμιάζων καὶ δώροις πολυτελέσι καὶ φιλοτίμοις
sat praising and with-gifts costly and lavish
ἐδεξιοῦτο τὸν ἄνδρα. εἶτα λέγει ὁ βασιλεὺς τῷ παιδὶ
honored the man then says the king to-the boy
οὑτωσί· "γνώρισόν μοι, ἐρασμιώτατόν μου παιδίον· ἆρά γε
thus make-known to-me most-lovely my child whether —
τὰ συμβαίνοντά τινι ἐξ εἱμαρμένης καὶ τύχης τινὸς
the(-things) befalling someone from destiny and fortune some
συμβαίνειν εἴωθεν;" ὁ δὲ παῖς ἔφη τῷ βασιλεῖ· "πολλοὶ
to-befall are-wont the and boy said to-the king many
τῶν ἀνθρώπων, ὦ δέσποτα, ὑπολαμβάνουσιν οὕτως ἔχειν·
of-the men O master suppose thus to-be
πλὴν πλανώμενοί εἰσιν οἱ οὕτω δοξάζοντες. ἀλλ'
but erring are the(-ones) thus thinking but
ἐμοί γε δοκεῖ ὡς ἡ ἀφορμὴ τῶν λυπηρῶν τῶν
to-me — it-seems that the occasion of-the grievous(-things) of-the(-things)
ἐπερχομένων τοῖς ἀνθρώποις γίνεται ἐκ τῆς τῶν ἀνθρώπων
coming-upon to-the men comes from the of-the men
πλεονεξίας· οὐδὲ γὰρ δικαίως ποιοῦσι τὰς πράξεις αὐτῶν
greed nor for justly they-do the deeds their

οἱ ἄνθρωποι ἀλλ᾽ ἀδίκως καὶ πονηρῶς. συνήθεια γάρ ἐστι
the men but unjustly and wickedly (a)-custom for it-is
τοῖς ἀνθρώποις, ὅταν τινὰ τῶν φιλοσόφων καὶ δικαίων
with-the men when some of-the philosophers and just
ἀνδρῶν εὕρωσι, κἂν τὰ χρηστὰ καὶ ὠφέλιμα συμβουλεύῃ
men they-find even-if the good and useful(-things) he-counsel
αὐτοῖς, ἔστι δὲ πτωχὸς καὶ οὐ τιμαῖς διαπρέπων, οὐ
them is but poor and not with-honors distinguished not
τιμῶσιν αὐτὸν οἱ πλούσιοι, οὐδὲ ὁ κοινὸς λαὸς δοξάζει
honor him the rich nor the common people glorifies
ἢ ἀκούει ἢ τιμᾷ αὐτόν, οὐδὲ ὡς φιλόσοφον λέγουσι καὶ
or hears or honors him nor as (a)-philosopher speak(-of) and
τιμῶσιν, ἀλλ᾽ ὡς ἰδιώτην παραβλέπουσιν. ἐὰν δέ
honor(-him) but as (an)-ignorant(-man) they-overlook(-him) if but
τις ἄνθρωπος εἰς τὴν ζωὴν αὐτοῦ εὐτυχὴς ᾖ, ἕνι δ᾽
some man in the life his fortunate be he-is but
ἐστερημένος πάσης σοφίας καὶ γνώσεως καὶ παιδεύσεως
deprived of-all wisdom and knowledge and education
παντελῶς, ἐκείνῳ μάλιστα οἱ ἄνθρωποι προσέρχονται καὶ
wholly to-that(-one) most the men approach and
θαρροῦσι, καὶ ἀκούουσι καὶ τιμῶσι, καὶ μέγαν ἄνθρωπον
take-courage and listen and honor and great man
καλοῦσι καὶ σοφὸν διὰ τὸν πλοῦτον· πλανώμενοι γοῦν
call(-him) and wise because-of the wealth erring then
ὄντες καὶ ἀπαίδευτοι καὶ μωροί, οὐ ποιοῦσι τοῦτο καλῶς,
being and uneducated and foolish not do this well
ἀλλὰ κακοτρόπως καὶ ἀπατηλῶς, καὶ μετὰ φενακισμοῦ
but ill-manneredly and deceitfully and with trickery
καὶ ἀναισθησίας. ἀφ᾽ οὗ συμβαίνει τὰς πολλὰς πόλεις
and senselessness from which it-befalls the many cities
ἀσθενεῖν καὶ κινδυνεύειν· οὐδὲ γὰρ συνιστῶσιν οἱ πλούσιοι
to-be-sick and to-be-in-danger nor for do-establish(-them) the rich

ἀπαίδευτοι καὶ ἄλογοι καὶ μωροὶ διὰ τοῦ πλούτου, ἀλλ'
uneducated and irrational and foolish through the wealth but
οἱ σοφοὶ καὶ φρόνιμοι ἀπὸ τῆς διαταγῆς αὐτῶν." Ὁ οὖν
the wise and prudent from the ordering their the then
βασιλεὺς ἐπηρώτα τῷ υἱῷ· "ποῖα ἄρα τὸν βασιλέα
king asked of-the son what(-things) then the king
προσήκει ποιεῖν;" ὁ δὲ υἱὸς λέγει· "τὸ εἶναι συνετὸν καὶ
befits to-do the and son says the to-be understanding and
φρόνιμον, καὶ ἐμπειρίαν ἐν τοῖς πράγμασιν ἔχοντα καὶ
prudent and experience in the affairs having and
ἐλεημοσύνην, πρὸς τῷ καὶ δίκαιος εἶναι· ἀφ' ὧν καὶ ὁ
almsgiving besides the also just to-be from which also the
λαὸς ὁ ὑπ' αὐτὸν κυβερνώμενος ἐλεεῖται καὶ οὐκ ἀδικεῖται,
people the under him governed is-pitied and not wronged
οὐχ ὡς ἄρχοντα ἔχων τὸν βασιλέα, ἀλλ' ἐν τάξει
not as (a)-ruler having the king but in (the)-rank
πατρός, ὃς καὶ οὐ προσάξει ἀδίκως καὶ ἀνεξετάστως
of-(a)-father who also not will-bring unjustly and without-examination
τινὶ τιμωρίαν, ἀλλὰ τοῖς ἀγαθοῖς ἀγαθὰ δώσει, τοῖς
on-anyone punishment but to-the good good(-things) will-give to-the
δὲ κακοῖς μετ' ἐξετάσεως κακά, καὶ πρὸ πάντων τὸν
and evil with examination evil(-things) and before all(-things) the
τοῦ θεοῦ φόβον ἔχει διὰ παντὸς πρὸ ὀφθαλμῶν καὶ
— of-God fear has through all before (the)-eyes and
μηδὲν ἄλλο τι τούτου τιμιώτερον ἡγεῖται." Εἶπε δὲ
nothing other anything than-this more-precious considers said and
αὐτῷ πάλιν ὁ βασιλεύς· "ποία βασιλεία ἀσφαλεστέρα
to-him again the king what kingship more-secure
ἐγένετο;" ὁ παῖς εἶπεν· "ἡ τὸ δίκαιον καὶ φιλάνθρωπον
has-been the boy said the(-one) the just and humane
ζητοῦσα. καὶ τοὺς πένητας ἐλεεῖ καὶ τοὺς δουλεύοντας
seeking and the poor pities and the(-ones) serving

καὶ ὑποτασσομένους αὐτῷ· καὶ ὑπὸ πειρασμῶν τοῦ κόσμου
and subject to-it and by trials of-the world
στενοχωρούμενοι εὑρίσκουσι βοήθειαν καὶ κουφισμὸν δι᾽
straitened find help and relief through
εὐεργεσιῶν αὐτοῦ. οὐδὲ γὰρ κατά τι ἄλλο διαφέρει
benefactions its nor for in anything other it-differs
παντὸς ἀνθρώπου ἢ μόνον διὰ τὸ ἐλεεῖν τοὺς δεομένους.”
from-every man than only by the to-pity the needy
Ὁ βασιλεύς· “ἐν ποίᾳ βασιλείᾳ οἱ ἄνθρωποι χαίρουσι;” καὶ
the king in what kingship the men rejoice and
ὁ παῖς· “τῇ ἐκ θείας προνοίας πρῶτον γενομένῃ
the boy in-the(-one) from divine providence first having-come-into-being
καὶ τῇ δικαίως πολιτευομένῃ καὶ τοὺς ἐχθρούς, ὅση
and the(-one) justly governing and the enemies as-much-as
δύναμις, ἀμυνομένῃ καὶ τοὺς ἀγαθοὺς προνοουμένῃ.”
power warding-off and the good taking-thought(-for)

XXIV · QUESTIONS AND ANSWERS

The king questions his son, who answers in maxims: wisdom defeats villainy; the richest treasure is good works; envy and false witness lead to sin; fear the man who fears neither God nor authority, and never befriend a deceitful man; fools resent the truth; only the earth fills the eye of greed; and the man without envy eats, drinks, and sleeps sweetly.

Αὖθις ὁ βασιλεὺς ἠρώτησε τὸν υἱόν· “ἆρα, ὦ παῖ,
again the king asked the son whether O boy
ἡ σοφία τῶν φιλοσόφων καὶ ἡ γνῶσις σφόδρα τῆς
the wisdom of-the philosophers and the knowledge very-much of-the
πανουργίας νικᾷ;” ὁ υἱὸς ἔφη· “καὶ εἰς ὅλα αὕτη
villainy defeats the son said also in all(-things) this

ἡ σοφία τὸ νῖκος ἔχει, διότι γινώσκει καλῶς τὰς τῶν
the wisdom the victory has because it-knows well the of-the
πράξεων διαφορὰς καὶ χωρίζει τὰ φύσει καλὰ ἀπὸ
deeds differences and separates the(-things) by-nature good from
τῶν ἐναντίων. ἡ δὲ πανουργία καὶ πονηρία, ἣν ἔχουσιν
the opposites the but villainy and wickedness which have
οἱ ἄνθρωποι, οὐ φρονήσεως καὶ σοφίας ἐστίν, ἀλλὰ ψιλῆς
the men not of-prudence and wisdom is but of-bare
διανοίας καὶ λογισμοῦ κακοῦ καὶ κακῆς προαιρέσεως, ἀπὸ
intellect and reasoning evil and evil choice from
τοῦ διαβόλου ἐρχομένη." Καὶ ὁ βασιλεὺς ἔφη· "τίνος
the devil coming and the king said for-what
ἕνεκεν οἱ γραμματικοὶ οὐκ ἐντρέπονταί τινα, ἀλλὰ μέσον
reason the scholars not respect anyone but among
πάντων ἁπλώνουσι τὴν διδασκαλίαν αὐτῶν καὶ ἀφόβως
all spread-out the teaching their and fearlessly
παρρησιάζονται;" καὶ ὁ παῖς· "τούτου ἕνεκα, ὦ βασιλεῦ,
speak-boldly and the boy for-this reason O king
τὸ πεπαρρησιασμένον ἔχουσιν, ὅπερ τινὲς ἰδιῶται
the boldness they-have which some ignorant(-people)
ἀναίσχυντον εἰώθασι καλεῖν, διότι ἀγαποῦσι διδάσκειν
shamelessness are-wont to-call because they-love to-teach
πάντας, καὶ μάλιστα τοὺς φρονιμωτέρους καὶ τοὺς τὴν
all and especially the more-prudent and the(-ones) the
σοφίαν ἀγαπῶντας· εἰ γὰρ ἐφθονοῦσαν, οὐκ ἂν ἐδίδασκόν
wisdom loving if for they-were-envious not — they-would-teach
τινι·" Καὶ ὁ βασιλεύς· "τίνες εἰσὶν οἱ παρὰ τῶν
anyone and the king who are the(-ones) by the
φιλοσόφων μισούμενοι;" καὶ ὁ υἱὸς ἀπεκρίνατο· "ὅσους
philosophers hated and the son answered as-many-as
ὁρῶσι μὴ μετὰ ἀγαθῆς καὶ καθαρᾶς γνώμης προσερχομένους
they-see not with good and pure mind approaching

τῇ διδασκαλίᾳ αὐτῶν, ἐπιθυμητῇ οὔσῃ τοῖς νοῦν
the teaching their desirable being to-the(-ones) sense
ἔχουσιν· ἀλλὰ τοὺς τῶν γραμματικῶν ἐλέγχους βαρέως
having but the of-the scholars refutations heavily
ὑπομένουσι, καὶ ὡς τῇ ἀληθείᾳ ἐναντιούμενοι δικαίως
endure and as the truth opposing justly
μισοῦνται παρὰ τῶν σοφῶν." Καὶ ὁ βασιλεὺς πάλιν ἔφη·
are-hated by the wise and the king again said
"ποῖος θησαυρὸς τῶν ἄλλων ἐστὶ μεγαλώτερος;" ὁ υἱὸς
what treasure than-the others is greater the son
ἀπεκρίνατο· "ὁ τῶν ἀγαθῶν ἔργων καὶ πράξεων." Ὁ
answered the(-one) of-the good works and deeds the
βασιλεὺς ἔφη· "τίνος χρείαν ἔχει τις κατὰ τῶν ἐχθρῶν
king said what need has one against the enemies
αὐτοῦ;" καὶ ὁ παῖς εἶπε· "τοῦ θαρρεῖν ἐπὶ τὸν θεόν."
his and the boy said of-the to-take-courage in — God
Ὁ βασιλεὺς ἔφη· "τίς κατὰ ἀλήθειαν ἐγένετο πλούσιος;"
the king said who in truth has-been rich
ὁ υἱὸς ἔφη· "ὁ τῶν καλῶν ἔργων ἐπιμελούμενος καὶ
the son said the(-one) of-the good works taking-care and
ἐπὶ τὸν θεὸν ἠλπικώς." Ὁ βασιλεὺς ἔφη· "τίς ἐστιν
in — God having-hoped the king said who is
ὁ τὴν καλλιωτέραν ἔχων ἀνάπαυσιν;" ὁ παῖς εἶπεν·
the(-one) the finer having rest the boy said
"ὁ μὴ φθονῶν τινα, καὶ ἑαυτὸν μὲν κατακρίνων,
the(-one) not envying anyone and himself indeed condemning
ἕτερον δὲ μήτε μέμφεται, μηδὲ κρίνει τί πράττει." Ὁ
another but neither blames nor judges what he-does the
βασιλεὺς εἶπε· "τίς κατὰ ἀλήθειαν μωρὸς καὶ ἄφρων
king said who in truth foolish and senseless
ὑπάρχει;" ὁ παῖς ἔφη· "ὁ μὴ γινώσκων τὸ ἑαυτοῦ
is the boy said the(-one) not knowing the his-own

πταῖσμα, καὶ μὴ ἀκούων τοῦ συμβουλεύοντος αὐτῷ
fault and not hearing the(-one) counseling him
ἀγαθά." Ὁ βασιλεὺς ἠρώτησε· "τίς τῶν ἀνθρώπων ἔχει
good(-things) the king asked who of-the men has
καλὴν καὶ φιλικὴν τὴν διάθεσιν τῆς ἀγάπης;" ὁ παῖς
good and friendly the disposition of-the love the boy
ἀπεκρίνατο· "ὁ μή τινα ποσῶς λυπήσας, μηδὲ εἴς
answered the(-one) not anyone at-all having-grieved nor toward
τινα ἔχων ζηλοτυπίαν." Ὁ βασιλεὺς ἔφη· "ποῖος λογισμὸς
anyone having jealousy the king said what thought
ὑπάρχει τῷ θεῷ μεμιασμένος;" ὁ υἱὸς ἔφη· "ὅστις ἔχει
is — to-God defiled the son said whoever has
ἔργα μυσαρὰ καὶ πράξεις, πρὸς τούτοις δὲ ὡς μέγα τι
works loathsome and deeds besides these and as great some
δεινὸν ἔχει καὶ τὴν ὑπερηφανίαν καὶ ἀλαζονείαν."
terrible(-thing) has also the arrogance and boasting
Ὁ βασιλεὺς ἔφη· "ποία τῶν αἰσχρῶν πράξεων πλέον
the king said which of-the shameful deeds more
εἰς ἁμαρτίαν βάλλει τὸν πράττοντα;" ὁ δὲ υἱὸς ἔφη·
into sin casts the doer the and son said
"ὁ φθόνος καὶ ἡ ψευδομαρτυρία, ἡ πλεονεξία καὶ
the envy and the false-witness the greed and
τὸ πορεύεσθαι εἰς τὸ ἴδιον θέλημα, διὰ τὸ μὴ
the to-go after the own will because-of the not
φοβεῖσθαι θεόν, εἰς ὅσα παραλόγως ὡς ἄλογον
to-fear God in what(-things) irrationally like (an)-irrational
ζῶον ἁμαρτάνει καὶ οὐκ ἐντρέπεται. αὗται οὖν αἱ πράξεις
animal he-sins and not is-ashamed these then the deeds
τοῦ τάλανος ἀνθρώπου τοῦ ζῶντος ἐν ἁμαρτίαις." Ὁ
of-the wretched man of-the(-one) living in sins the
βασιλεὺς ἔφη· "καὶ τίς ἐστιν ὁ μὴ γινώσκων ταῦτα;"
king said and who is the(-one) not knowing these(-things)

ὁ υἱός· "ὅστις ἐστὶν ἀχόρταστος ἐν πᾶσι πράγμασιν,
the son whoever is insatiable in all things
εἴτε τροφαῖς εἴτε ἱματίοις εἴτε χρήμασιν εἴτε δόξῃ
whether foods or garments or money or glory
εἴτε κτήμασιν εἴτε θεραπείᾳ δούλων." Ὁ βασιλεὺς εἶπε·
or possessions or service of-slaves the king said
"τίνα πρέπει φοβεῖσθαι καὶ τρέμειν;" ὁ νέος εἶπε·
whom it-befits to-fear and to-tremble-at the young(-man) said
"τὸν μὴ φοβούμενον τὸν θεὸν μηδὲ τὴν μεγαλωτέραν
the(-one) not fearing — God nor the greater
ἀρχήν, μηδὲ χωρίζοντα τὸ δίκαιον ἀπὸ τοῦ ἀδίκου. ἀλλὰ
authority nor separating the just from the unjust but
λέγω σοι, βασιλεῦ, οὐ πρέπει ποιεῖν φίλον ἄνθρωπον
I-tell you king not it-is-fitting to-make (a)-friend (a)-man
δολιόφρονα, πονηρὸν καὶ ὑποκριτήν, ὅστις ἄλλα μὲν
deceitful wicked and (a)-hypocrite who other(-things) indeed
τῷ στόματι λέγει, ἄλλα δὲ τῇ καρδίᾳ πονηρῶς
with-the mouth says other(-things) but in-the heart wickedly
συλλογίζεται." Ὁ βασιλεὺς ἔφη· "πῶς ἄρα οἱ ἄνθρωποι
reckons the king said how then the men
τὴν φιλίαν ἀγαπῶντες, ἐν καιρῷ πολὺ ἐπὶ πλέον τὴν
the friendship loving in time much even more the
ἔχθραν ποιοῦσιν;" ὁ νέος εἶπε· "διὰ τοῦτο· τὸ
enmity make the young(-man) said because-of this the
ζημιῶσαί τινα εὔκολόν ἐστι, τὸ δὲ ποιῆσαί τινα καλῶς,
to-harm someone easy is the but to-do someone well
δύσκολον." Καὶ πάλιν ὁ βασιλεύς· "πῶς οἱ ἄρρωστοι
hard and again the king how the sick
τοὺς λόγους τῶν ἰατρῶν δέχονται καὶ ὑπομένουσι, κἂν
the words of-the physicians receive and endure even-if
βαρέοι εἰσίν, οἱ δὲ ἄνθρωποι, ὅταν ἀκούωσι τὴν ἀλήθειαν,
heavy they-are the but men when they-hear the truth

βαροῦνται ἐπ᾽ αὐτῇ καὶ δυσχεραίνουσιν;" ὁ δὲ υἱὸς ἔφη·
are-burdened at it and are-annoyed the and son said
"ὅτι ὁ ἄρρωστος τὰ βότανα καὶ τὰ ζουλάπια τὰ
that the sick(-man) the herbs and the juleps the(-ones)
φερόμενα πρὸς αὐτὸν ὑπομένει καὶ δέχεται, κἂν δριμέα
brought to him endures and receives even-if sharp
κἂν πικρὰ ὑπάρχωσι, διὰ τὴν ἀνάγκην τοῦ σώματος
even-if bitter they-be because-of the need of-the body
αὐτοῦ καὶ ὅτι ἐλπίζει διὰ τῶν βοτανῶν ὑγείαν, καὶ
his and because he-hopes through the herbs (for)-health and
τὰς φωνὰς τῶν ἰατρῶν ὑπομένει νομίζων ὅτι δι᾽ ὑγείαν
the voices of-the physicians endures thinking that for health
φασὶ ταῦτα πρὸς αὐτόν· ὁ δὲ ἄφρων ἀνὴρ καὶ
they-say these(-things) to him the but senseless man and
ἀσύνετος, ὅταν ἀκούῃ τἀληθῆ καὶ τὰ πρέποντα, βαρεῖται
unintelligent when he-hears the-truth and the fitting(-things) is-burdened
καὶ δυσχεραίνει πρὸς τὰ λόγια, ὅτι οὐκ ἀναγκάζεται ὑπό
and is-annoyed at the words because not he-is-compelled by
τινος, ὡς ὁ ἄρρωστος ὑπὸ τῆς νόσου. διὰ τοῦτο καὶ
anyone as the sick(-man) by the disease because-of this also
γέγραπται· "ἔλεγχε σοφὸν καὶ ἀγαπήσει σε, καὶ μὴ
it-is-written reprove (a)-wise(-man) and he-will-love you and not
ἔλεγχε ἄφρονας ἵνα μὴ μισήσωσί σε." Πάλιν ὁ βασιλεὺς
reprove (the)-senseless that not they-hate you again the king
ἔφη τῷ υἱῷ· "πῶς ἄρα ὁ μὲν πλούσιος ἐν τροφαῖς
said to-the son how then the indeed rich(-man) in foods
εὐθὺς τρώγων εὐκόλως χορταίνει, ὁ δὲ ἀχόρταστος τῶν
at-once eating easily is-filled the but insatiable of-the
χρημάτων καὶ ἀγαπῶν αὐτὰ ἀχόρταστον ἔχει τὴν ὄρεξιν
money and loving it insatiable has the appetite
αὐτῶν;" ὁ νέος εἶπεν· "ἡ μὲν τῶν πλουσίων γαστήρ,
of-it the young(-man) said the indeed of-the rich belly

ἡ δεχομένη τὰς τροφάς, μετὰ τὸ λαβεῖν τὰς πολλὰς
the(-one) receiving the foods after the to-take the many
ἐκείνας τροφὰς χορταίνει, κἂν οὐ θέλει· ὁ δὲ ὀφθαλμός,
those foods is-filled even-if not it-wishes the but eye
λαίμαργος ὑπάρχων καὶ ἀχόρταστος, καθ' ὅσον ὁρᾷ
gluttonous being and insatiable in as-much-as it-sees
τὰ χρήματα, ἐπὶ τοσοῦτον ὀρέγεται αὐτά, καὶ θεὸν οὐκ
the money to so-much craves it and God not
ἐνθυμεῖται, ἕως ὅτου διὰ θανάτου καλύψει ἡ γῆ τοὺς
it-remembers until — through death will-cover the earth the
ὀφθαλμοὺς αὐτοῦ." Πάλιν ἐρωτᾷ ὁ βασιλεύς· "ποῖος
eyes his again asks the king what-kind
ἄρα γίνεται ὁ θάνατος τοῦ βασκάνου ἀνδρός;" ὁ υἱὸς
then becomes the death of-the envious man the son
ἀπεκρίνατο· "ὁ θάνατος τοῦ τοιούτου ἀνθρώπου χαρὰ τοῖς
answered the death of-the such man joy to-the
ἄλλοις ἀνθρώποις γίνεται· οὐδὲ γὰρ ἕνι ἄλλο χεῖρον τῶν
other men becomes nor for is other worse of-the
βαρυτέρων ἁμαρτιῶν, ὡς ἡ τῆς βασκανίας καὶ τοῦ φθόνου
heavier sins than the of-the envy and of-the jealousy
ἁμαρτία. καὶ πρέπει πάντα ἄνθρωπον θερμῶς παρακαλεῖν
sin and it-befits every man warmly to-entreat
τὸν θεόν, ὅπως ἐκ τῶν τοιούτων τελείως ἐξέλθῃ ὁ
— God that from the such(-men) wholly go-out the
φθόνος ἐκ τῆς καρδίας αὐτοῦ. γίνωσκε οὖν, ὦ πάτερ
envy from the heart his know then O father
καὶ βασιλεῦ, ὅτι πᾶς ἄνθρωπος ὁ μὴ βασκαίνων καὶ
and king that every man the(-one) not envying and
φθονῶν γλυκέως ἐσθίει, γλυκέως πίνει, ἡδέως κοιμᾶται·
begrudging sweetly eats sweetly drinks pleasantly sleeps
αἱ πράξεις αὐτοῦ φροντίδα οὐκ ἔχουσιν· εὐκόλως γὰρ
the deeds his care not have easily for

ὃ βούλεται πράττει, καὶ ἡ ζωὴ αὐτοῦ χωρὶς ἀνάγκης
what he-wishes he-does and the life his without necessity
γίνεται· καθήμενός ἐστιν ἀμέριμνος, ἱστάμενος οὐ κοπιᾷ.
becomes sitting he-is untroubled standing not he-toils
ταύτας οὖν, κράτιστε βασιλεῦ, ἅσπερ παρ᾽ ἐμοῦ ἀκήκοας
these then mightiest king which from me you-have-heard
ἀποκρίσεις ἀρκετὰς εἶναι νόμιζε περὶ πάντων.”
answers sufficient to-be consider about all(-things)
